






GP




600003981R







DE

HISTORICIS GRAECIS

TESTIMONIA

VETERUM SCRIPTORUM

PRAECIPUA.

SCHOLARUM IN USUM
ET COLLEGIT ET AD VERBUM DESCRIPTA EDIDIT

GUIL. HENR. GRAUERT,
PHIL. DR., LITT. ANT. IN ACADEMIA GUESTFALORUM MONASTERIENSI
PROF. PUBL. EXTR.

MONASTERII
SUMTIBUS LIBRARIAE COPPENRATH.
MDCCCXXIX.


BIBLIOTHECA · BODLEIANA

Guil. Henr. Grauert

Auditoribus suis

S.

Ad edendum hunc libellum quo ego aggressus sim consilio, quamquam in scholis vobis, auditores optimi, non obscure significavi, accuratius tamen nunc censeo esse exponendum. Nam illud mihi saepe multum cogitanti, qua ratione effici posset, ut ex scholis auditores fructus perciperent quam uberrimos, hoc inprimis obstare videbatur, quod, quorum scriptorum veterum loci laudantur ad probandas singulas opiniones idonei, eos plerumque nec evolvere discentibus licet neque perlegere: nam non solum otium iis deest, quod ad eam rem requiritur satis magnum, sed desunt etiam libri, qui inspiciendi sunt, longe plurimi. At qui vere velit discere, atque, quod in omni re summum est, intelligere, ei non ediscendum esse nec magistri in verba iurandum, sed suis oculis videndum suaque mentis cer-

nendum acie, quis est qui tam sit in aliqua disciplina plumbeus ut audeat infitiari? Nec vero hoc aliter potest effici, nisi si et rationes, quibus singula confirmantur, et auctorum testimonia percipiantur atque intelligantur. Quae quidem quum saepe mecum reputarem, illud in mentem recurrit, quod olim mihi in philosophiae historia velle se instituere Brandisius dixerat, vir doctrinae pariter copia et ingenii acumine insignis, ut, ex quibus scriptorum veterum narrationibus singulorum placitorum philosophicorum notitia esset haurienda, eas auditorum commodo typis exscribendas curaret. Quod ego ut peragerem simili modo in meis de historicis Graecis lectionibus, complura alia persuadebant. Etenim quum Latino dicam sermone, scriptorum loci semel iterumque recitandi non solum multum temporis consumunt verum etiam plerumque, propter longas numerorum terminationes sonumque haud raro in diversis numeris parum differentem, tum non sine molestia pronuntiari a dicente possunt tum difficilius percipi ab audientibus. Itaque feci ut loci illi, qui dicuntur, classici, additis librorum, capitum, paginarum numeris, ad verbum descripti typis excuderentur: quo iam labore confecto (fuit enim vere labor: sed eum nihil attinet enarrare), in manus

vestras libellum tradere licet. In quo, quantum quidem praesto erant, optimis quibusque editionibus usus sum, a corrigendo ubique fere abstinens: commodius enim de his rebus in scholis dicetur. Sed erat quod in exsequendo consilio quosdam me angustiores fines servare iuberet. Id enim agendum fuit, ut ne nimium liber accresceret, eoque maius ipsius pretium bibliopolae esset constituendum. Quapropter primum eos tantum scriptores adhibui, qui aut perpaucis vestrum aut nulli fere in manibus sunt, in quibus Suidas est, Photius, Dionysius Hal., Diodorus, Polybius, Lucianus, Plutarchus, alii; omisi eos, qui versari a longe plurimis solent, inter quos sunt Cicero, Livius, Thucydides, Xenophon: tum complures ceterorum loci praetermissi sunt, quibus vos quidem carere sine detrimento possitis, propterea quod in iis eadem fere traduntur quae in aliis (cuius generis Suidae quoque, quem ceteroquin ubique apposui, nonnullae annotationes sunt, aut brevissimae, ut s. v. Strabo, aut nihil novi praebentes, ut s. v. Arrianus, Appianus: qua eadem de causa Eudociam nusquam advocavi:), atque multi non integri adscripti, sed, lacunae nota posita, ea sola quae apprime ad rem facerent illustrandam, insertoque verbo aliquo, eoque uncinis incluso,

intelligentiae subventum: denique nonnullos scriptores omnino praeterii, tum eos quibus cum historia ipsa parum rei aut nihil esset, quales sunt Prophyrius et Iamblichus, tum eos omnes qui Byzantiam ad aetatem pertinent. Ac sane si, quae iam vobis offeruntur, studiose diligenterque perquisiveritis, erit quod laudemini. Id vero ut quam primum instituatis, rogo atque obsecro. Neque enim ea solum, quae ad historicos Graecos spectant, optime hac ratione percipietis, sed omnino hoc quoque consequemini, ut ad scriptorum antiquorum, sive qui fontes historiae vocantur, studium diligens atque solers propius accedatis: id quod philologo in summis utique ponendum est, ut, qui illud negligat, philologi nomine plane sit indignus. Namque omnino qui historiam tractant atque ediscunt neque cognitos habent scriptores antiquos, quibus quaeque auctoribus dicunt: quorum quidem vel nostra aetate caterva est sane non exigua: nae isti aniculis vetulis atque nutriculis similes sunt, fabulas narrantibus quas avia ab avia acceperunt. Valete, auditores optimi, ac favere mihi pergatis.

Corrigenda

praeter leviora nonnulla vitia, maxime quae in accentibus collocandis commissa sunt, haec restant:

Pag.	1. vers.	3.	ἀφαιρεθεισῶν.
„	30. „	14.	post τούτοις insere [τῷ Ἡροδότῳ καὶ Θουκυδίδῃ].
„	32. „	10.	ἑπτακαίδεκα.
„	34. „	2.	post Κτησίου insere [λέξις].
„	51. „	16.	καθόλου.
„	67. „	23.	ἠκροάσατο.
„	77. „	25.	καταριθμούμενος.
„	79. „	16.	νέοι.

Prolegomena.

Polyb. I. 14.

Ὥσπερ γὰρ ζώου, τῶν ὄψεων ἀφαιρεθεισῶν, ἀχρειοῦται τὸ ὅλον· οὕτως ἐξ ἱστορίας ἀναιρεθείσης τῆς ἀληθείας, τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίγνεται διήγημα.

Id. II. 56.

Τὸ γὰρ τέλος ἱστορίας καὶ τραγῳδίας οὐ ταὐτὸν ἀλλὰ τοὐναντίον· ἐκεῖ μὲν γὰρ δεῖ διὰ τῶν πιθανωτάτων λόγων ἐκπλῆξαι καὶ ψυχαγωγῆσαι κατὰ τὸ παρὸν τοὺς ἀκούοντας· ἔνθαδε δὲ διὰ τῶν ἀληθινῶν ἔργων καὶ λόγων εἰς πάντα τὸν χρόνον διδάξαι καὶ πεῖσαι τοὺς φιλομαθοῦντας· ἐπειδήπερ ἐν ἐκείνοις μὲν ἡγεῖται τὸ πιθανὸν, κἂν ᾖ ψεῦδος, διὰ τὴν ἀπάτην τῶν θεωμένων, ἐν δὲ τούτοις τἀληθές, διὰ τὴν ὠφέλειαν τῶν φιλομαθούντων.

Dionys. Hal. de Thuc. Iud. p. 824. Reisk.

. . . . . *τῆς ἀληθείας, ἧς ἱερὰν εἶναι τὴν ἱστορίαν βουλόμεθα.*

Polyb. III. 31.

Ἱστορίας γὰρ ἐὰν ἀφέλῃ τις τὸ διὰ τί καὶ πῶς καὶ τίνος χάριν ἐπράχθη, καὶ τὸ πραχθὲν πότερα εὔλογον ἔσχε τὸ τέλος· τὸ καταλειπόμενον αὐτῆς ἀγώνισμα μὲν, μάθημα δὲ οὐ γίγνεται· καὶ παραυτίκα μὲν τέρπει, πρὸς δὲ τὸ μέλλον οὐδὲν ὠφελεῖ τὸ παράπαν.

Sempronius Asellio ap. A. Gell. V. 18.

Verum inter eos, inquit, qui annales relinquere voluissent, et eos, qui res gestas a Romanis perscribere conati essent, omnium rerum hoc interfuit. Annales libri tantummodo quod factum, quoque anno gestum sit, ea demonstrabant, id est (eorum) quasi qui diarium scribunt, quam Graeci ἐφημερίδα vocant. Nobis non modo satis esse video, quod factum esset, id pronunciare, sed etiam, quo consilio quaque ratione gesta essent, demonstrare. Paulo autem post idem Asellio in eodem libro: Nam neque alacrioris, inquit, ad rempublicam defendundam neque segnioris ad rem perperam faciundam annales libri commovere quidquam possunt. Scribere autem bellum, initum quo consule, et quo modo confectum sit, et quis triumphans introierit, et quae eo in bello gesta sint, iterare: non praedicare autem, interea quid senatus decreverit, aut quae lex rogatiove lata sit, neque quibus consiliis ea gesta sint: id fabulas pueris est narrare, non historias scribere.

Lucian. de Conscrib. Hist. c. 38.

Μάλιστα δὲ καὶ πρὸ πάντων ἐλεύθερος ἔστω τὴν γνώμην, καὶ μήτε φοβείσθω μηδένα μηδὲ ἐλπιζέτω μηδέν· ἐπεὶ ὅμοιος ἔσται τοῖς φαύλοις δικασταῖς, πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἐπὶ μισθῷ δικάζουσιν.

Id. ibid. c. 39.

Καὶ μόνῃ θυτέον τῇ ἀληθείᾳ, εἴ τις ἱστορίαν γράψων ἴοι, τῶν δ᾽ἄλλων ἁπάντων ἀμελητέον αὐτῷ.

Id. ibid. c. 41.

Τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω, ἄφοβος, ἀδέκαστος, ἐλεύθερος, παῤῥησίας καὶ ἀληθείας φίλος, ὡς ὁ κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάζων.

Idem ibid. c. 45.

Δεήσει γὰρ [τότε] ποιητικοῦ τινος ἀνέμου ἐπουριάσοντος τὰ ἀκάτια καὶ συνδιοίσοντος ὑψηλὴν καὶ ἐπ' ἄκρων τῶν κυμάτων τὴν ναῦν . . . ἡ λέξις δὲ ὅμως ἐπὶ γῆς βεβηκέτω, τῷ μὲν κάλλει καὶ τῷ μεγέθει τῶν λεγομένων συνεπαιρομένη, καὶ ὡς ἔνι μάλιστα ὁμοιουμένη, μὴ ξενίζουσα δὲ μηδ' ὑπὲρ τὸν καιρὸν ἐνθουσιῶσα κ. τ. λ.

Dionysius Hal. de Thuc. Iud. p. 941.

Ἐγὼ δ' οὔτ' αὐχμηρὰν καὶ ἀκοσμητὸν καὶ ἰδιωτικὴν τὴν ἱστορικὴν εἶναι πραγματείαν ἀξιώσαιμ' ἄν, ἀλλ' ἔχουσάν τι καὶ ποιητικὸν, οὔτε παντάπασι ποιητικὴν, ἀλλ' ἐπ' ὀλίγον ἐκβεβηκυῖαν τῆς ἐν ἔθει.

Quintilian. I. O. X. 1.

Historia quoque alere orationem quodam molli iucundoque succo potest. Verum et ipsa sic est legenda, ut sciamus, plerasque eius virtutes oratori esse vitandas. Est enim proxima poetis et quodammodo carmen solutum: et scribitur ad narrandum, non ad probandum: totumque opus non ad actum rei pugnamque praesentem, sed ad memoriam posteritatis et ingenii famam componitur, ideoque et verbis liberioribus et remotioribus figuris narrandi taedium evitat.

Plutarch. de Gloria Athen. T. II. p. 346. f. Xyl.

. . . . ὁ Σιμωνίδης τὴν μὲν ζωγραφίαν ποίησιν σιωπῶσαν προςαγορεύων, τὴν δὲ ποίησιν ζωγραφίαν λαλοῦσαν. ἃς γὰρ οἱ ζωγράφοι πράξεις ὡς γινομένας δεικνύουσι, ταύτας οἱ λόγοι γεγενημένας διηγοῦνται καὶ συγγράφουσιν. εἰ δὲ οἱ μὲν χρώμασι καὶ σχήμασιν, οἱ δὲ ὀνόμασι καὶ λέξεσι ταῦτα δηλοῦσιν, ὕλῃ καὶ τρόποις μιμήσεως διαφέρουσι, τέλος δὲ ἀμφοτέροις ἓν ὑπόκειται, καὶ τῶν ἱστορικῶν κράτιστος ὁ τὴν διήγησιν ὥςπερ γραφὴν πάθεσι καὶ προσώποις εἰδωλοποιήσας.

Id. II. 159.

Καὶ Σύροισι πεζῇ ὁ Νεκὼς συμβαλὼν ἐν Μαγδόλῳ ἐνίκησε· μετὰ δὲ τὴν μάχην Κάδυτιν πόλιν τῆς Συρίης ἐοῦσαν μεγάλην εἷλε. ἐν τῇ δὲ ἐσθῆτι ἔτυχε ταῦτα κατεργασάμενος, ἀνέθηκε τῷ Ἀπόλλωνι, πέμψας ἐς Βραγχίδας τὰς Μιλησίων.

Id. II. 160.

Ἐπι τοῦτον δὴ τὸν Ψάμμιν βασιλεύοντα Αἰγύπτου ἀπίκοντο Ἠλείων ἄνδρες ἄγγελοι, αὐχέοντες δικαιότατα καὶ κάλλιστα τιθέναι τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα πάντων ἀνθρώπων.

Id. II. 178.

Φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις, ἄλλα τε ἐς Ἑλλήνων μετεξετέρους ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι ἀπικνευμένοισι ἐς Ἄιγυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι· τοῖσι δὲ μὴ βουλομένοισι αὐτῶν οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι, ἔδωκε χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι.

Id. IV. 44.

Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη· ὃς βουλόμενος Ἰνδὸν ποταμὸν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθηΐην ἐρέειν καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα.

§. 5.

Dionys. Halic. Thucyd. Iud. p. 818.

Ἀρχαῖοι μὲν οὖν συγγραφεῖς πολλοὶ καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου· ἐν οἷς ἐστιν Εὐγέων τε ὁ Σάμιος, καὶ Δηΐοχος ὁ Προικοννήσιος, καὶ Εὔδημος ὁ Πάριος, καὶ Δημοκλῆς ὁ Φυγελεὺς, καὶ Ἑκαταῖος ὁ Μιλήσιος, ὅ τε Ἀργεῖος Ἀκουσίλαος, καὶ ὁ Λαμψακηνὸς Χάρων, καὶ ὁ Χαλκηδόνιος Ἀμελησαγόρας. ὀλίγῳ δὲ πρεσβύτεροι τῶν Πελοποννησιακῶν, καὶ μέχρι τῆς

Θουκυδίδου παρεκτείναντες ἡλικίας, Ἑλλάνικός τε ὁ Λέσβιος καὶ Δαμάστης ὁ Σιγειεὺς καὶ Ξενομήδης ὁ Χῖος καὶ Ξάνθος ὁ Λυδὸς, καὶ ἄλλοι συχνοί.

Id. ibid. p. 864.

Οὔτε γὰρ διασώζονται τῶν πλειόνων αἱ γραφαὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων, οὔθ' αἱ διασωζόμεναι παρὰ πᾶσιν ὡς ἐκείνων οὖσαι τῶν ἀνδρῶν πιστεύονται· ἐν αἷς εἰσιν αἵ τε Κάδμου τοῦ Μιλησίου καὶ Ἀρισταίου τοῦ Προικοννησίου, καὶ τῶν παραλησίων τούτοις.

Cadmus Milesius.

Suidas s. v.

Κάδμος, Πανδίονος, Μιλήσιος, ἱστορικὸς, ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. Συνέταξε δὲ Κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ'.

Strabo I. p. 18. Casaub.

Ὡς δ' εἰπεῖν, ὁ πεζὸς λόγος ὅγε κατεσκευάσμένος μίμημα τοῦ ποιητικοῦ ἐστι. πρώτιστα γὰρ ἡ ποιητικὴ κατασκευὴ παρῆλθεν εἰς τὸ μέσον, καὶ εὐδοκίμησεν· εἶτα ἐκείνην μιμούμενοι, λύσαντες τὸ μέτρον, τἄλλα δὲ φυλάξαντες τὰ ποιητικὰ, συνέγραψαν οἱ περὶ Κάδμον καὶ Φερεκύδην καὶ Ἑκαταῖον· εἶτα οἱ ὕστερον, ἀφαιροῦντες ἀεί τι τῶν τοιούτων, εἰς τὸ νῦν εἶδος κατήγαγον, ὡς ἂν ἀπὸ ὕψους τινός· καθάπερ ἄν τις καὶ τὴν κωμῳδίαν φαίη λαβεῖν τὴν σύστασιν ἀπό τῆς τραγῳδίας, καὶ τοῦ κατ' αὐτὴν ὕψους καταβιβασθεῖσαν εἰς τὸ λογοειδὲς νυνὶ καλούμενον.

Ioseph. Cont. Ap. I. §. 2.

Οἱ μέντοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ Κάδμον τε τὸν Μιλήσιον καὶ τὸν Ἀργεῖον Ἀκουσίλαον, καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς Περσῶν ἐπὶ τὴν Ἑλλάδα στρατείας τῷ χρόνῳ προέλαβον.

Aristeas Proconnesius.

Suidas s. v.

Ἀριστέας, Δημοχάριδος, ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός. τὰ Ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'. τούτου φασὶ τὴν ψυχὴν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν'. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη α'.

Herodot. IV. 13. seq.

Ἔφη δὲ Ἀριστέης ὁ Καυστροβίου, ἀνὴρ Προκοννήσιος, ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας κ. τ. λ. . . . . Ἀριστέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν οὐδενὸς γένος ὑποδεέστερον . . . . . ποιῆσαι τὰ ἔπεα ταῦτα, τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται κ. τ. λ.

Strabo XIII. p. 589.

Προκόννησος . . . . ἐντεῦθέν ἐστιν Ἀριστέας, ὁ ποιητὴς τῶν Ἀριμασπείων καλουμένων ἐπῶν, ἀνὴρ γόης, εἴ τις ἄλλος.

A. Gellius IX. 4. 3.

Erant autem isti omnes libri Graeci miraculorum fabularumque pleni: res inauditae, incredulae; scriptores veteres non parvae auctoritatis: Aristeas Proconnesius et Isigonus Nicaeensis et Ctesias.

Plinius Nat. Hist. VII. c. 2.

. . . . . multi, sed maxime illustres Herodotus et Aristeas Proconnesius scribunt.

Acusilaus Argivus.

Suidas s. v.

Ἀκουσίλαος, Κάβα υἱὸς, Ἀργεῖος, ἀπὸ Κερκάδος πόλεως, οὔσης Αὐλίδος πλησίον. ἱστορικὸς πρεσβύτατος. ἔγραψε δὲ Γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

Clemens Alex. Strom. VI. p. 629. A.
τὰ Ἡσιόδου μετήλλαξαν εἰς πεζὸν λόγον καὶ ὡς ἴδια ἐξήνεγκαν Εὔμηλός τε καὶ Ἀκουσίλαος οἱ ἱστοριογράφοι.

Suidas s. v.
Ἑκαταῖος Μιλήσιος — πρῶτος ἱστορίαν πεζῶς ἐξήνεγκε· συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται. Eadem idem s. v. *ἱστορῆσαι* et *συγγράφω.*

Charon Lampsacenus.

Suidas s. v.
Χάρων Λαμψακηνὸς, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, οθ' Ὀλυμπιάδι· μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν κατὰ τὴν οε' Ὀλυμπιάδα· ἱστορικός. ἔγραψεν Αἰθιοπικά. Περσικὰ ἐν βιβλίοις β'. Ἑλληνικὰ ἐν βιβλίοις δ'. Περὶ Λαμψάκου β'. Λιβυκά. Ὅρους Λαμψακηνῶν, ἐν βιβλίοις δ'. Πρυτάνεις ἢ Ἄρχοντας τοὺς τῶν Λακεδαιμονίων. ἔστι δὲ Χρονικά. Κτίσεις πόλεων ἐν βιβλίοις β'. Κρητικὰ ἐν βιβλίοις γ'. λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους. Περίπλουν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

Χάρων Καρχηδόνιος, ἱστορικός· ἔγραψε Τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι. Βίους ἐνδόξων ἀνδρῶν, ἐν βιβλίοις δ'. Βίους ὁμοίως γυναικῶν, ἐν δ'.

Aelian. Var. Hist. I. 15.
Χάρων δὲ ὁ Λαμψακηνὸς περὶ τὸν Ἄθω φανῆναι περιστερὰς λευκὰς λέγει, ὅτε ἐνταῦθα ἀπώλοντο αἱ τῶν Περσῶν τριήρεις, περικάμπτουσαι τὸν Ἄθω.

Plutarch. Themist. p. 125. b. Xyl.
Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι, τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ

μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις.

§. 6.

Hecataeus Milesius.

Suidas s. v.

Ἑκαταῖος, Ἡγησάνδρου, Μιλήσιος, γέγονε κατὰ τοὺς Δαρείου χρόνους, τοῦ μετὰ Καμβύσην βασιλεύσαντος· ὅτε καὶ Διονύσιος ἦν ὁ Μιλήσιος, ἐπὶ τῆς ξέ Ὀλυμπιάδος, ἱστοριογράφος. Ἡρόδοτος δὲ Ἁλικαρνασεὺς ὠφέληται τούτου νεώτερος ὤν. καὶ ἦν ἀκουστὴς Πρωταγόρου ὁ Ἑκαταῖος. πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε· συγγραφὴν δὲ Φερεκύδης. τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

Herod. V. 36.

Ἑκαταῖος δὲ, ὁ λογοποιὸς, πρῶτα μὲν οὐκ ἔα πόλεμον βασιλέϊ τῶν Περσέων ἀναιρέεσθαι, καταλέγων τά τε ἔθνεα πάντα τῶν ἦρχε Δαρεῖος, καὶ τὴν δύναμιν αὐτοῦ. ἐπεί τε δὲ οὐκ ἔπειθε, δεύτερα συνεβούλευε ποιέειν ὅκως ναυκράτεες τῆς θαλάσσης ἔσονται. ἄλλως μέν νυν οὐδαμῶς, ἔφη λέγων, ἐνορᾷν ἐσόμενον τοῦτο· ἐπίστασθαι γὰρ τὴν δύναμιν τὴν Μιλησίων ἐοῦσαν ἀσθενέα· εἰ δὲ τὰ χρήματα καταιρεθείη τὰ ἐκ τοῦ ἱροῦ τοῦ ἐν Βραγχίδῃσι, τὰ Κροῖσος ὁ Λυδὸς ἀνέθηκε, πολλὰς εἶχε ἐλπίδας ἐπικρατήσειν τῆς θαλάσσης. καὶ οὕτω αὐτούς τε ἕξειν χρήματα χρᾶσθαι, καὶ τοὺς πολεμίους οὐ συλήσειν αὐτά. τὰ δὲ χρήματα ἦν ταῦτα μεγάλα, ὡς δεδήλωταί μοι ἐν τῷ πρώτῳ τῶν λόγων. Αὕτη μὲν δὴ οὐκ ἐνίκα ἡ γνώμη.

Idem V. 125.

Ἑκαταίου μέν νυν τοῦ Ἡγησάνδρου, ἀνδρὸς λογοποιοῦ, τουτέων μὲν ἐς οὐδετέρην στέλλειν ἔφερε ἡ γνώμη, ἐν Λέρῳ δὲ τῇ νήσῳ τεῖχος οἰκοδομησάμενον ἡσυχίην ἄγειν, ἢν ἐκπέσῃ ἐκ τῆς Μιλήτου· ἔπειτα δὲ ἐκ ταύτης ὁρμεώ-

μενον, κατελεύσεσθαι ἐς τὴν Μίλητον. ταῦτα μὲν δὴ Ἑκαταῖος συνεβούλευε.

Idem V. 49.

Ἀπικνέεται δ' ὦν ὁ Ἀρισταγόρης ὁ Μιλήτου τύραννος ἐς τὴν Σπάρτην, Κλεομένεος ἔχοντος τὴν ἀρχήν. τῷ δὴ ἐς λόγους ἤϊε, ὡς Λακεδαιμόνιοι λέγουσι, ἔχων χάλκεον πίνακα, ἐν τῷ γῆς ἁπάσης περίοδος ἐνετέτμητο, καὶ θάλασσά τε πᾶσα καὶ ποταμοὶ πάντες.

Demetrius de Elocutione §. 12.

Ἑκαταῖος Μιλήσιος ὧδε μυθεῖται. τὰ δὲ γράφω, ὥς μοι ἀληθέα δοκέει εἶναι· οἱ γὰρ Ἑλλήνων λόγοι πολλοί τε καὶ γελοῖοι, ὡς ἐμοὶ φαίνονται, εἰσίν.

Pausanias III. 25.

Ἀλλὰ Ἑκαταῖος μὲν ὁ Μιλήσιος λόγον εὗρεν εἰκότα, ὄφιν φήσας ἐπὶ Ταινάρῳ τραφῆναι δεινὸν, κληθῆναι δὲ ᾅδου κύνα, ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ, καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι παρ' Εὐρυσθέα.

Id. VIII. 47.

Καὶ ἐπὶ ταύτῃ βιασθῆναι τῇ κρήνῃ φασὶν Αὔγην ὑπὸ Ἡρακλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίῳ τὰ ἐς αὐτήν.

Id. IV. 2.

Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς . . . . . λέγουσιν . . . . . τῷ δὲ Εὐβοέων λόγῳ Κρεώφυλος ἐν Ἡρακλείᾳ πεποίηκεν ὁμολογοῦντα. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐν Σκίῳ μοῖραν τῆς Ἐρετρικῆς ἔγραψεν εἶναι Οἰχαλίαν.

Herodot. II. 143.

Πρότερον δὲ Ἑκαταίῳ τῷ λογοποιῷ ἐν Θήβῃσι γενεηλογήσαντί τε ἑωυτὸν καὶ ἀναδήσαντι τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν, ἐποίησαν οἱ ἱρέες τοῦ Διὸς, οἷόν τι καὶ ἐμοὶ οὐ γενεηλογήσαντι ἐμεωυτόν . . . . . Ἑκαταίῳ δὲ γε-

νεηλογήσαντι ἑωυτὸν καὶ ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν ἀντεγενεηλόγησαν ἐπὶ τῇ ἀριθμήσει, οὐ δεκόμενοι παρ' αὐτοῦ ἀπὸ θεοῦ γενέσθαι ἄνθρωπον. ἀντεγενεηλόγησαν δὲ ὧδε, φάμενοι ἕκαστον τῶν κολοσσῶν Πίρωμιν ἐκ Πιρώμιος γεγονέναι· ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκοσίους ἀπέδεξαν κολοσσοὺς Πίρωμιν ἐκ Πιρώμιος γενόμενον, καὶ οὔτε ἐς θεὸν οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς.

Id. II. 15.

Εἰ ὦν βουλόμεθα γνώμῃσι τῇσι Ἰώνων χρᾶσθαι τὰ περὶ Αἴγυπτον, οἵ φασι . . . . . ἀποδεικνύοιμεν ἄν, τούτῳ τῷ λόγῳ χρεώμενοι, Αἰγυπτίοισι οὐκ ἐοῦσαν πρότερον χώρην. . . . .

Id. II. 16.

Εἰ ὦν ἡμεῖς ὀρθῶς περὶ αὐτῶν γινώσκομεν, Ἴωνες οὐκ εὖ φρονέουσι περὶ Αἰγύπτου. εἰ δὲ ὀρθή ἐστι ἡ τῶν Ἰώνων γνώμη, Ἑλληνάς τε καὶ αὐτοὺς Ἴωνας ἀποδείκνυμι οὐκ ἐπισταμένους λογίζεσθαι κ. τ. λ.

Id. II. 21.

Ἡ δὲ ἑτέρη [ὁδὸς], ἀνεπιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, λόγῳ δὲ εἰπεῖν, θωυμασιωτέρη. ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐτὸν [τὸν Νεῖλον] ταῦτα μηχανᾶσθαι, τὸν δ' Ὠκεανὸν γῆν περὶ πᾶσαν ῥέειν.

Id. II. 23.

Ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας, ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας, οὐκ ἔχει ἔλεγχον. οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα, Ὅμηρον δέ, ἤ τινα τῶν πρότερον γενομένων ποιητέων, δοκέω τοὔνομα εὑρόντα ἐς τὴν ποίησιν ἐςενείκασθαι.

Id. IV. 36.

Γελῶ δὲ ὁρέων γῆς περιόδους γράψαντα πολλοὺς ἤδη, καὶ οὐδένα νόον ἔχοντας ἐξηγησάμενον. οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ τὴν γῆν, ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ

τόρνου· καὶ τὴν Ἀσίην τῇ Εὐρώπῃ ποιεύντων ἴσην. ἐν ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μεγαθός τε ἑκάστης αὐτέων, καὶ οἵη τίς ἐστι ἐς γραφὴν ἑκάστη.

Id. IV. 42.

Θωμάζω ὦν τῶν διουρισάντων καὶ διελόντων Λιβύην τε καὶ Ἀσίην καὶ Εὐρώπην. οὐ γάρ. . . . .

Strabo I. init.

Τῆς τοῦ φιλοσόφου πραγματείας εἶναι νομίζομεν, εἴπερ ἄλλην τινὰ, καὶ τὴν γεωγραφικὴν, ἣν νῦν προῃρήμεθα ἐπισκοπεῖν. ὅτι δ᾽ οὐ φαύλως νομίζομεν, ἐκ πολλῶν δῆλον. οἵ τε γὰρ πρῶτοι θαῤῥήσαντες αὐτῆς ἅψασθαι, τοιοῦτοί τινες ὑπῆρξαν· Ὅμηρός τε καὶ Ἀναξίμανδρος ὁ Μιλήσιος καὶ Ἑκαταῖος ὁ πολίτης αὐτοῦ, καθὼς καὶ Ἐρατοσθένης φησί.

§. 7.

Hellanicus Lesbius.

Suidas s. v.

Ἑλλάνικος, Μιλήσιος, ἱστορικός. Περίοδον γῆς καὶ ἱστορίας. — Ἑλλάνικος, Μιτυληναῖος, ἱστορικὸς, υἱὸς Ἀνδρομένους, οἱ δὲ Ἀριστομένους, οἱ δὲ Σκάμωνος· οὗ ὁμώνυμον ἔσχεν υἱόν. διέτριψε δὲ Ἑλλάνικος καὶ σὺν Ἡροδότῳ παρὰ Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ, κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους· καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε, γεγονότι κατὰ τὰ Περσικὰ, καὶ μικρῷ πρός. ἐξέτεινε δὲ καὶ μέχρι τῶν Περδίκκου χρόνων, καὶ ἐτελεύτησεν ἐν Περπερήνῃ, τῇ κατ᾽ ἀντικρὺ Λέσβου. συνεγράψατο δὲ πλεῖστα πεζῶς τε καὶ ποιητικῶς.

A. Gellius XV. 23.

Hellanicus, Herodotus, Thucydides, historiae scriptores, in iisdem fere temporibus laude ingenti floruerunt, et non nimis longe distantibus fuerunt aetatibus. Nam Hellanicus

initio belli Peloponnesiaci fuisse quinque et sexaginta annos natus videtur, Herodotus tres et quinquaginta, Thucydides quadraginta. Scriptum hoc est in libro undecimo Pamphilae.

Lucian. de Longaev. T. III. p. 224. Reitz.

Ἑλλάνικος ὁ Λέσβιος ὀγδοήκοντα καὶ πέντε [ἔτη ἔζησεν]· καὶ Φερεκύδης ὁ Σύριος ὁμοίως ὀγδοήκοντα καὶ πέντε· Τίμαιος ὁ Ταυρομενείτης ἓξ καὶ ἐνενήκοντα.

Athenaeus IX. p. 410. f. Casaub.

Τὸν δὲ τῷ χερνίβῳ ῥάναντα παῖδα διδόντα κατὰ χειρὸς Ἡρακλεῖ ὕδωρ, ὃν ἀπέκτεινεν ὁ Ἡρακλῆς κονδύλῳ, Ἑλλάνικος μὲν ἐν ταῖς ἱστορίαις Ἀρχίαν φησὶ καλεῖσθαι· δι' ὃν καὶ ἐξεχώρησε Καλυδῶνος· ἐν δὲ τῷ δευτέρῳ τῆς Φορωνίδος Χερίαν αὐτὸν ὀνομάζει.

Strabo X. p. 451.

Ἑλλάνικος δ' οὐδὲ τὴν περὶ ταύτας [Πυλήνην καὶ Πρόσχιον] ἱστορίαν οἶδε, ἀλλ' ὡς ἔτι καὶ αὐτῶν οὐσῶν ἐν τῇ ἀρχαίᾳ καταστάσει μέμνηται· τὰς δ' ὕστερον καὶ τῆς τῶν Ἡρακλειδῶν καθόδου κτισθείσας, Μακυνίαν καὶ Μολυκρίαν, ἐν ταῖς ἀρχαίαις καταλέγει, πλείστην εὐχέρειαν ἐπιδεικνύμενος ἐν πάσῃ σχεδόν τι τῇ γραφῇ.

Id. X. p. 456.

Οὐδ' Ἑλλάνικος Ὁμηρικὸς, Δουλίχιον τὴν Κεφαλληνίαν λέγων.

Id. IX. p. 426.

Νάπη . . . . . ἣν Ἑλλάνικος ἀγνοῶν Λάπην ὀνομάζει.

Id. XI. p. 508.

Ῥάδιον δ' ἄν τις Ἡσιόδῳ καὶ Ὁμήρῳ πιστεύσειεν ἡρωολογοῦσι, καὶ τοῖς τραγικοῖς ποιηταῖς, ἢ Κτησίᾳ τε καὶ Ἡροδότῳ καὶ Ἑλλανίκῳ καὶ ἄλλοις τοιούτοις.

Id. XIII. p. 602.

Ἑλλάνικος δὲ χαριζόμενος τοῖς Ἰλιεῦσιν, οἷος ὁ ἐκείνου μῦθος, συνηγορεῖ τῷ τὴν αὐτὴν εἶναι πόλιν τὴν νῦν τῇ τότε.

Damastes Sigeensis.

Suidas s. v.

Δαμάστης, Σιγειεὺς, ἀπὸ Σιγείου γῆς τῆς Τρωάδος, Διωξίππου υἱὸς, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότου, τῶν πλουσιωτάτων, ἱστορικός· γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων. Περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία δύο. Ἐθνῶν κατάλογον καὶ πόλεων. Περὶ ποιητῶν καὶ σοφιστῶν· καὶ ἄλλα συχνά. γέγονε δὲ Ἑλλανίκου μαθητής.

Strabo I. p. 47.

Οὐδὲ τοῦτ' εὖ Ἐρατοσθένης, ὅτι ἀνδρῶν οὐκ ἀξίων μνήμης ἐπιπλέον μέμνηται, τὰ μὲν ἐλέγχων, τὰ δὲ πιστεύων, καὶ μάρτυσι χρώμενος αὐτοῖς, οἷον Δαμάστῃ καὶ τοιούτοις ἄλλοις. καὶ γὰρ εἴ τι λέγουσιν ἀληθὲς, οὐ μάρτυσί γε ἐκείνοις χρηστέον περὶ αὐτοῦ, οὐδὲ πιστευτέον διὰ τοῦτο· ἀλλ' ἐπὶ τῶν ἀξιολόγων ἀνδρῶν μόνον τῷ τοιούτῳ τρόπῳ χρηστέον, οἳ πολλὰ μὲν εἰρήκασιν εὖ, πολλὰ δὲ καὶ παραλελοίπασιν, ἢ οὐχ ἱκανῶς ἐξεῖπον, οὐδὲ διεψευσμένως. ὁ δὲ Δαμάστῃ χρώμενος μάρτυρι οὐδὲν διαφέρει τοῦ καλοῦντος μάρτυρα τὸν Βεργαῖον ἢ τὸν Μεσσήνιον Εὐήμερον, καὶ τοὺς ἄλλους, οὓς αὐτὸς εἴρηκε διαβάλλων τὴν φλυαρίαν.

§. 8.

Pherecydes Lerius.

Suidas s. v.

Φερεκύδης Ἀθηναῖος, πρεσβύτερος τοῦ Συρίου· ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν. ἔγραψεν Αὐτόχθονας· ἔστι

δὲ περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις δέκα. Παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα δέχεται πρεσβύτερον, ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς.

Suidas s. v.

Φερεκύδης Λέριος, ἱστορικὸς, γεγονὼς πρὸ ὀλίγου τῆς οε' Ὀλυμπιάδος· ἔγραψε περὶ Λέρου. Περὶ Ἰφιγενείας. Περὶ τῶν Διονύσου ἑορτῶν· καὶ ἄλλα.

Strabo X. p. 487.

Σύρος . . . . ἐξ ἧς Φερεκύδης ὁ Βάβυος ἦν. Νεώτερος δ' ἐστὶν ὁ Ἀθηναῖος ἐκείνου.

Dionys. Halic. Antiq. Rom. I. 13. p. 35. Reisk.

Φέρε δὴ, καὶ τὸ γένος ὅσον ἦν τὸ τῶν Οἰνώτρων ἀποδείξωμεν, ἕτερον ἄνδρα τῶν ἀρχαίων συγγραφέων παρασχόμενοι μάρτυρα, Φερεκύδην τῶν Ἀθηναίων γενεαλόγων οὐδενὸς δεύτερον . . . . . τὰ μὲν οὖν ὑπὸ τῶν παλαιῶν εἰρημένα ποιητῶν τε καὶ μυθογράφων περί τε οἰκήσεως καὶ γένους τῶν Οἰνώτρων τοιαῦτά ἐστιν.

Xanthus Lydus.

Suidas s. v.

Ξάνθος, Κανδαύλου, Λυδὸς, ἐκ Σάρδεων, ἱστορικὸς, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων. Λυδιακὰ βιβλία δ'. ἐν δὲ τῷ β' τούτων ἱστορεῖ κ. τ. λ.

Dionys. Halic. Antiq. Rom. I. 28. p. 73. Reisk.

Ξάνθος δὲ ὁ Λυδὸς, ἱστορίας παλαιᾶς, εἰ καί τις ἄλλος, ἔμπειρος ὢν, τῆς δὲ πατρίου καὶ βεβαιωτὴς ἂν οὐδενὸς ὑποδεέστερος νομισθεὶς, οὔτε Τυῤῥηνὸν ὠνόμακεν οὐδαμοῦ τῆς γραφῆς.

Athenaeus X. p. 415. c.

Ξάνθος δὲ ἐν τοῖς Λυδιακοῖς Κάμβλητά φησι τὸν βασιλεύσαντα Λυδῶν πολυφάγον γενέσθαι καὶ πολυπότην, ἔτι δὲ γαστρίμαργον. τοῦτον οὖν ποτε νυκτὸς τὴν ἑαυτοῦ γυναῖκα κατακρεουργήσαντα καταφαγεῖν, ἔπειτα πρωῒ εὑ-

ρόντα τὴν χεῖρα τῆς γυναικὸς ἐνοῦσαν ἐν τῷ στόματι, ἑαυτὸν ἀποσφάξαι, περιβοήτου τῆς πράξεως γενομένης.

Clemens Alex. Stromat. III. p. 515. Pott.

Ξάνθος δὲ ἐν τοῖς ἐπιγραφομένοις Μαγικοῖς . . . . φησὶν κ. τ. λ.

Dionysius Milesius.

Suidas s. v.

Διονύσιος Μιλήσιος ἱστορικός. Τὰ μετὰ Δαρεῖον ἐν βιβλίοις ε΄. Περιήγησιν οἰκουμένης. Περσικὰ, Ἰάδι διαλέκτῳ. Τρωϊκῶν βιβλία γ΄. Μυθικά. Κύκλον ἱστορικὸν ἐν βιβλίοις ζ΄.

Diodorus III. 66.

Διόπερ . . . . διέξιμεν ἐν κεφαλαίοις τὰ παρὰ τοῖς Λίβυσι λεγόμενα καὶ τῶν Ἑλληνικῶν συγγραφέων ὅσοι τούτοις σύμφωνα γεγράφασι καὶ Διονυσίῳ τῷ συνταξαμένῳ τὰς παλαιὰς μυθολογίας. οὗτος γάρ τά τε περὶ τὸν Διόνυσον καὶ τὰς Ἀμαζόνας, ἔτι δὲ τοὺς Ἀργοναύτας καὶ τὰ κατὰ τὸν Ἰλιακὸν πόλεμον πραχθέντα καὶ πολλ᾽ ἕτερα συντέτακται, παρατιθεὶς τὰ ποιήματα τῶν ἀρχαίων, τῶν τε μυθολόγων καὶ τῶν ποιητῶν.

§. 10.

Herodotus Halicarnasseus.

Suidas s. v.

Ἡρόδοτος Λύξου καὶ Δρυοῦς, Ἁλικαρνασσεὺς, τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ᾽ ἐν Σάμῳ διὰ Λύγδαμιν, τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ· Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. ἐν οὖν τῇ Σάμῳ καὶ τὴν Ἰάδα ἠσκήθη διάλεκτον καὶ ἔγραψεν Ἱστορίαν ἐν βιβλίοις θ΄, ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως. ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν, καὶ

τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον, ἀποικιζόμενον ὑπὸ Ἀθηναίων, ἐθελοντὴς ἦλθε, κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν Πέλλῃ αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι.

Dionys. Hal. de Thuc. Iud. p. 820.

Ὁ δ' Ἁλικαρνασσεὺς Ἡρόδοτος, γενόμενος ὀλίγῳ πρότερον τῶν Περσικῶν, παρεκτείνας δὲ μέχρι τῶν Πελοποννησιακῶν, τήν τε πραγματικὴν προαίρεσιν ἐπὶ τὸ μεῖζον ἐξήνεγκε καὶ λαμπρότερον, οὔτε πόλεως μιᾶς οὔτ' ἔθνους ἑνὸς ἱστορίαν προελόμενος ἀναγράψαι, πολλὰς δὲ καὶ διαφόρους πράξεις ἔκ τε τῆς Εὐρώπης ἔκ τε τῆς Ἀσίας ἐς μίαν περιγραφὴν πραγματείας ἀγαγεῖν. ἀρξάμενος οὖν ἀπὸ τῆς τῶν Λυδῶν δυναστείας, μέχρι τοῦ Περσικοῦ πολέμου κατεβίβασε τὴν ἱστορίαν, πάσας τὰς ἐν τοῖς τεσσαράκοντα καὶ διακοσίοις ἔτεσι γενομένας πράξεις ἐπιφανεῖς Ἑλλήνων τε καὶ βαρβάρων μιᾷ συντάξει περιλαβών. καὶ τῇ λέξει προςεπέδωκε τὰς παραλειφθείσας ὑπὸ τῶν πρὸ αὐτοῦ συγγραφέων ἀρετάς.

Herodot. VI. 98.

Ἐπὶ γὰρ Δαρείου τοῦ Ὑστάσπεος καὶ Ξέρξεω τοῦ Δαρείου καὶ Ἀρταξέρξεω καὶ Ξέρξεω, τριῶν τουτέων ἐπεξῆς γενεέων, ἐγένετο πλέω κακὰ τῇ Ἑλλάδι ἢ ἐπὶ εἴκοσι ἄλλας γενεὰς τὰς πρὸ Δαρείου γενομένας· τὰ μὲν ἀπὸ τῶν Περσέων αὐτῇ γενόμενα, τὰ δὲ ἀπ' αὐτῶν τῶν κορυφαίων περὶ τῆς ἀρχῆς πολεμεόντων.

Id. IX. 73.

Τοῖσι δὲ Δεκελεῦσι ἐν Σπάρτῃ ἀπὸ τούτου τοῦ ἔργου ἀτελείη τε καὶ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι ἐοῦσα, οὕτω ὥστε καὶ ἐς τὸν πόλεμον τὸν ὕστερον πολλοῖσι ἔτεσι τούτων γενόμενον Ἀθηναίοισί τε καὶ Πελοποννησίοισι, σι-

νεομένων τὴν ἄλλην Ἀττικὴν Λακεδαιμονίων, Δεκελέης ἀποσχέσθαι.

Id. VII. 233.

. . . . . *στρατηγοῦ Λεοντιάδεω· τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες, στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων, καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.*

Id. VII. 137.

Οὕτω ἡ Ταλθυβίου μῆνις . . . . . ἐπαύσατο το παραυτίκα . . . . χρόνῳ δὲ μετέπειτα πολλῷ ἐπηγέρθη, κατὰ τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον, ὡς λέγουσι Λακεδαιμόνιοι.

Plinius Hist. Nat. XII. 4.

Virgilius celebravit ebenum, nusquam alibi nasci professus. Herodotus eam Aethiopiae intelligi maluit. . . . . Tanta ebori auctoritas erat urbis nostrae trecentesimo decimo anno: tunc enim auctor ille historiam eam condidit Thuriis in Italia.

Dionys. Hal. de Lys. Iud. Tom. V. p. 452. Reisk.

Λυσίας . . . . ἔτη δὲ πεντεκαίδεκα γεγονὼς, εἰς Θουρίους ᾤχετο πλέων σὺν ἀδελφοῖς δυσὶ, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον Ἀθηναῖοί τε καὶ ἡ ἄλλη Ἑλλὰς δωδεκάτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου.

Strabo XIV. p. 656.

Ἄνδρες δὲ γεγόνασιν ἐξ αὐτῆς [τῆς Ἁλικαρνασσοῦ] Ἡρόδοτός τε ὁ συγγραφεὺς, ὃν ὕστερον Θούριον ἐκάλεσαν, διὰ τὸ κοινωνῆσαι τῆς εἰς Θουρίους ἀποικίας.

Plutarch. de Herod. Malign. p. 868. a.

Ἔδει μὲν οὖν μηδὲ τοῖς μηδίσασιν Ἑλλήνων ἄγαν ἐπεμβαίνειν, καὶ ταῦτα Θούριον μὲν ὑπὸ τῶν ἄλλων νομιζόμενον, αὐτὸν δὲ Ἁλικαρνασσέων περιεχόμενον.

Aristot. Rhet. III. 9.

Ἡ μὲν οὖν εἰρομένη λέξις ἡ ἀρχαία ἐστίν· Ἡροδότου Θουρίου ἥδ' ἱστορίης ἀπόδεξις.

Herod. VI. 57.

Τὰ δὲ ἄλλα, τὰ εἰρηναῖα, κατὰ τάδε σφι [*τοῖς τῆς Σπάρτης βασιλεῦσι*] *δέδοται . . . . . . καὶ παρίζειν βουλεύουσι τοῖσι γέρουσι, ἐοῦσι δυῶν δέουσι τριήκοντα. ἢν δὲ μὴ ἔλθωσι, τοὺς μάλιστά σφι τῶν γερόντων προςήκοντας ἔχειν τὰ τῶν βασιλέων γέρεα, δύο ψήφους τιθεμένους, τρίτην δὲ τὴν ἑωυτῶν.*

Id. IX. 53.

Ἀμομφάρετος δὲ ὁ Πολιάδεω, λοχηγέων τοῦ Πιτανητέων λόχου κ. τ. λ.

Id. V. 3.

Θρηΐκων δὲ ἔθνος μέγιστόν ἐστι, μετά γε Ἰνδοὺς, πάντων ἀνθρώπων.

Id. VI. 98.

Δῆλος ἐκινήθη, ὡς ἔλεγον οἱ Δήλιοι, καὶ πρῶτα καὶ ὕστατα μέχρι ἐμεῦ σεισθεῖσα.

Id. I. 184.

Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι.

Id. I. 106.

Καὶ τήν τε Νῖνον εἷλον (ὡς δὲ εἷλον, ἐν ἑτέροισι λόγοισι δηλώσω).

Id. VI. 18. seq.

Καὶ ἠνδραποδίσαντο [*οἱ Πέρσαι*] *τὴν πόλιν, ὥστε συμπεσέειν τὸ πάθος τῷ χρηστηρίῳ τῷ ἐς Μίλητον γενομένῳ. Χρεωμένοισι γὰρ Ἀργείοισι ἐν Δελφοῖσι περὶ σωτηρίης τῆς πόλιος τῆς σφετέρης, ἐχρήσθη κ. τ. λ.*

Id. VII. 96.

. . . . . . τῶν ἐγὼ, οὐ γὰρ ἀναγκαίῃ ἐξέργομαι ἐς ἱστορίης λόγον, οὐ παραμέμνημαι· οὔτε γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν οἱ ἡγεμόνες κ. τ. λ.

Id. IV. 30.

Προςθήκας γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο.

Id. II. 3.

Ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου ἐν Μέμφι ἤκουον. Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ, καὶ ὡς κ. τ. λ.

Id. II. 99.

Μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι· τὸ δὲ ἀπὸ τοῦδε, Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων, κατὰ τὸ ἤκουον· προςέσται δὲ αὐτοῖσί τι καὶ τῆς ἐμῆς ὄψιος.

Id. VIII. 30.

Οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλεόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες.

Id. VII. 132.

Τῶν δὲ δόντων ταῦτα [γῆν τε καὶ ὕδωρ] ἐγένοντο οἵδε· Θεσσαλοὶ, Δόλοπες, Ἐνιῆνες, Περῥαιβοὶ, Λοκροὶ, Μάγνητες, Μηλιέες, Ἀχαιοὶ οἱ Φθιῶται, καὶ Θηβαῖοι, καὶ οἱ ἄλλοι Βοιωτοὶ, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων.

Id. VII. 152.

Εἰ μέν νυν Ξέρξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος, καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτων Ἀρταξέρξεα περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἶπαι· οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαίνομαι ἄλλην γε

ἢ τήν περ αὐτοὶ Ἀργεῖοι λέγουσι. . . . . Ἐγὼ δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαί γε μὲν ὦν οὐ παντάπασι ὀφείλω· καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα τὸν λόγον.

Id. II. 123.

Τοῖσι μέν νυν ὑπ' Αἰγυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑπόκειται, ὅτι τὰ λεγόμενα ὑπὲρ ἑκάστων ἀκοῇ γράφω.

Id. IV. 195.

Ταῦτα εἰ μέν ἐστι ἀληθέως οὐκ οἶδα, τα δὲ λέγεται γράφω.

Id. IV. 205.

Οὐ μὲν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης, τισαμένη τοὺς Βαρκαίους, ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς· ζῶσα γὰρ εὐλέων ἐξέζεσε. ὡς ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται.

Id. VIII. 77.

Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας.

Id. VIII. 129.

Αἴτιον δὲ λέγουσι οἱ Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημμυρίδος καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων, τοί περ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης· αἴτιον δὲ τοῦτο λέγοντες, εὖ λέγειν ἔμοιγε δοκέουσι.

Id. IX. 65.

Θῶμα δέ μοι, ὅκως παρὰ τῆς Δήμητρος τὸ ἄλσος μαχομένων, οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς τὸ

τέμενος οὔτε ἐναποθανὼν, περί τε τὸ ἱρὸν οἱ πλεῖστοι ἐν τῷ βεβήλῳ ἔπεσον. δοκέω δὲ, εἴ τι περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ, ἡ θεὸς αὐτή σφεας οὐκ ἐδέξατο, ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν Ἐλευσῖνι ἀνακτόριον.

Id. VII. 129.

Αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα, δι᾽ οὗ ῥέει ὁ Πηνειὸς, οἰκότα λέγοντες. ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν, καὶ τὰ διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, καὶ ἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι. ἔστι γὰρ σεισμοῦ ἔργον, ὡς ἐμοὶ ἐφαίνετο εἶναι, ἡ διάστασις τῶν οὐρέων.

Id. II. 120.

Εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν.

Dionys. Hal. Epist. ad Pomp. p. 775.

Πρώτη τῶν ἀρετῶν γένοιτ᾽ ἂν, ἧς χωρὶς οὐδὲν τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελος, τίς; ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι· Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανὼν, Θουκυδίδης τε τῆς Ἀτθίδος. τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἂν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἡδὺ φαίνεται τὸ βραχύ· εἰ δ᾽ ἀπολείποιτο τούτου, πικρόν. ἀλλὰ μηδὲν ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μετὰ τῶν ἐπιθέτων ἀρετῶν· ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν τῶν ἠθῶν τε καὶ παθῶν μίμησις. διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς. Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων· Ἡρόδοτος δὲ τά γ᾽ ἤθη παραστῆσαι δεινότερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί· ἴσοι κἂν ταύταις οἱ συγγραφεῖς. ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως ἀρεταὶ περιέχουσαι· κρείττων ἐν ταύταις

Ἡροδότου Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰςφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. τῆς δὲ φράσεως τῶν ὀνομάτων τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης, ὁμοειδὴς πᾶς ὢν ἐν λόγοις. ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον· ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ μᾶλλον ἢ Θουκυδίδης. ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι, κἂν ταῖς δημηγορίαις μᾶλλον ἢ ταῖς διηγήσεσιν. ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μαλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτ' εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

§. 11.

Antiochus Syracusanus.

Dionys. Hal. Antiq. I. 12. p. 34. Reisk.

Ἀντίοχος δὲ ὁ Συρακούσιος, συγγραφεὺς πάνυ ἀρχαῖος, ἐν Ἰταλίας οἰκίσμῳ τοὺς παλαιοτάτους οἰκήτορας διεξιὼν, ὡς ἕκαστοί τι μέρος αὐτῆς κατεῖχον, Οἰνώτρους λέγει πρώτους τῶν μνημονευομένων ἐν αὐτῇ κατοικῆσαι, εἰπὼν ὧδε· Ἀντίοχος Ξενοφάνεως τάδε συνέγραψε περὶ Ἰταλίας, ἐκ τῶν ἀρχαίων λόγων τὰ πιστότατα καὶ σαφέστατα· τὴν γῆν ταύτην, ἥτις νῦν Ἰταλία καλεῖται, τὸ παλαιὸν εἶχον Οἴνωτροι. ἔπειτα διεξελθὼν ὃν τρόπον ἐπολιτεύοντο, καὶ ὡς βασιλεὺς ἐν αὐτοῖς Ἰταλὸς ἀνὰ χρόνον ἐγένετο, ἀφ' οὗ μετωνομάσθησαν Ἰταλοὶ, τούτου δὲ τὴν ἀρχὴν Μόργης διεδέξατο, ἀφ' οὗ Μόργητες ἐκλήθησαν, καὶ ὡς Σικελὸς ἐπιξενωθεὶς Μόργητι, ἰδίαν πράττων ἀρχὴν, διέστησε τὸ

Id. VII. 96.

. . . . . . *τῶν ἐγὼ, οὐ γὰρ ἀναγκαίῃ ἐξέργομαι ἐς ἱστορίης λόγον, οὐ παραμέμνημαι· οὔτε γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν οἱ ἡγεμόνες κ. τ. λ.*

Id. IV. 30.

Προςθήκας γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο.

Id. II. 3.

Ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου ἐν Μέμφι ἤκουον. Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ, καὶ ὡς κ. τ. λ.

Id. II. 99.

Μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι· τὸ δὲ ἀπὸ τοῦδε, Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων, κατὰ τὸ ἤκουον· προςέσται δὲ αὐτοῖσί τι καὶ τῆς ἐμῆς ὄψιος.

Id. VIII. 30.

Οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλεόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες.

Id. VII. 132.

Τῶν δὲ δόντων ταῦτα [γῆν τε καὶ ὕδωρ] ἐγένοντο οἵδε· Θεσσαλοὶ, Δόλοπες, Ἐνιῆνες, Περῥαιβοὶ, Λοκροὶ, Μάγνητες, Μηλιέες, Ἀχαιοὶ οἱ Φθιῶται, καὶ Θηβαῖοι, καὶ οἱ ἄλλοι Βοιωτοὶ, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων.

Id. VII. 152.

Εἰ μὲν νυν Ξέρξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος, καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτων Ἀρταξέρξεα περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἶπαι· οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαίνομαι ἄλλην γε

προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν, καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ (τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον) λέγεται, φονευθεὶς ἐκεῖ. μνῆμα δ' αὐτοῦ, τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις δείκνυται, παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τῶν δήμων, οἱ δὲ περὶ τὸν Μιλτιάδην Λακιάδαι.

Pausan. I. 23.

Οἰνοβίῳ δὲ ἔργον ἐστὶν εἰς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν. ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην· καί οἱ δολοφονηθέντι, ὡς κατῄει, μνῆμά ἐστιν οὐ πόῤῥω πυλῶν Μελιτίδων.

Dionys. Hal. de Thuc. Iud. p. 847.

Ἔοικεν [ὁ Θουκυδίδης] ἀτελῆ τὴν ἱστορίαν καταλιπεῖν, ὡς καὶ Κράτιππος, ὁ συνακμάσας αὐτῷ, καὶ τὰ παραλειφθέντα ὑπ' αὐτοῦ συναγαγὼν, γέγραφεν.

§. 13.

Xenophon Atheniensis.

Suidas s. v.

Ξενοφῶν, Γρύλλου, Ἀθηναῖος, φιλόσοφος Σωκρατικός· ὃς πρῶτος ἔγραψε Βίους φιλοσόφων, καὶ Ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο. αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ ἤκμαζε κατὰ τὴν ἐνενηκοστὴν ὀγδόην Ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν καὶ ταῦτα. Κύρου παιδείας βιβλία η'. Κύρου Ἀναβάσεως βιβλία ζ'. Ἑλληνικῶν βιβλία ζ'. Συμπόσιον· καὶ ἄλλα πολλά.

Diogenes Laert. Vita Xenoph. Lib. II.

Ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, καὶ ἀναβέβηκε σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου, ἑνὶ προτέρῳ ἔτει τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δὲ (καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ) ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιδήμου, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδὼν ἦρξε. τέθνηκε δὲ ἐν Κορίνθῳ (ὥς φησι Δημήτριος ὁ Μάγνης), ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς.

Strabo IX. p. 403.

Εἶτα Δήλιον τὸ ἱερὸν τοῦ Ἀπόλλωνος . . . . . ὅπου μάχῃ λειφθέντες Ἀθηναῖοι προτροπάδην ἔφυγον· ἐν δὲ τῇ φυγῇ πεσόντα ἀφ' ἵππου Ξενοφῶντα τὸν Γρύλλου ἰδὼν κείμενον Σωκράτης ὁ φιλόσοφος στρατεύων πεζὸς, τοῦ ἵππου γεγονότος ἐκποδὼν, ἀνέλαβε τοῖς ὤμοις αὑτοῦ, καὶ ἔσωσεν ἐπὶ πολλοὺς σταδίους, ἕως ἐπαύσατο ἡ φυγή.

Pausan. V. 6.

Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας, Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου, φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν· ἐδιώχθη δε ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων, ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὔνουν ὄντα στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου. καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος, Λυσάνδρῳ τῷ Ἀριστοκρίτου καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς· ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή. κατοικήσας δὲ ἐν Σκιλλοῦντι, τέμενός τε καὶ ἱερὸν καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο Ἐφεσίᾳ. παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, ὑῶν τε ἀγρίων καὶ ἐλάφων. καὶ τὴν γῆν τὴν Σκιλλουντίαν Σιλινοῦς ποταμὸς διέξεισιν. οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα Ἠλείους ἔλεγον, καὶ Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κρι-

θῆναι μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγγνώμης, ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ μνῆμά τε ἐδείκνυτο, καὶ τῆς Πεντέλησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προςοικοῦντες.

Quintilian. X. 1.

Quid ego commemorem Xenophontis iucunditatem illam inaffectatam, sed quam nulla possit affectatio consequi? ut ipsae finxisse sermonem Gratiae videantur, et quod de Pericle veteris comoediae testimonium est, in hunc transferri iustissime possit, in labris eius sedisse quandam persuadendi deam.

Dionys. Hal. Epist. ad Pomp. p. 777. seq.

Ξενοφῶν δὲ καὶ Φίλιστος, οἱ τούτοις ἐπακμάσαντες, οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προςηκούσας· τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος· καὶ τὴν Ἀνάβασιν τοῦ νεωτέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων, καὶ τρίτην ἔτι τὴν Ἑλληνικὴν, καὶ ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης, ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίστανται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι, ζηλωτὴς Ἡροδότου γενόμενος, ἀλλὰ καὶ τῆς οἰκονομίας. ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται, καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε, μεμέρικέ τε καλῶς καὶ τέταχε καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τ' ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετὲς, ἁπάσαις τε συλλήβδην κεκο-

σμημένον ἀρεταῖς. καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος. ὁ δὲ λεκτικὸς πῆ μὲν ὅμοιος Ἡροδότου, πῆ δ' ἐνδεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς καὶ σαφὴς, καθάπερ ἐκεῖνος· ἐκλέγει δ' ὀνόματα συνήθη τε καὶ προςφυῆ τοῖς πράγμασι, καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ ἧττον Ἡροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρόδοτος ἔχει· οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλα κἄν ποτε διεγεῖραι βουληθείη τὴν φράσιν, ὀλίγον ἐμπνεύσας, ὥσπερ ἀπόγειος αὖρα, ταχέως σβέννυται· μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος, καὶ οὐχ, ὡς Ἡρόδοτος, ἐφάπτεται τῶν προςώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

§. 14.

Ctesias Cnidius.

Suidas s. v.

Κτησίας, Κτησιάρχου, ἢ Κτησιόχου, Κνίδιος, ἰατρός· ὃς ἰάτρευσεν ἐν Πέρσαις Ἀρταξέρξην τὸν Μνήμονα κληθέντα· καὶ συνέγραψε Περσικὰ ἐν βιβλίοις κ' καὶ τρισί.

Photius Bibl. Cod. 72. p. 52. H.

Ἀνεγνώσθη βιβλίον ΚΤΗΣΙΟΥ τοῦ Κνιδίου τὰ Περσικὰ, ἐν βιβλίοις κγ'. ἀλλ' ἐν μὲν τοῖς πρώτοις ς' τά τε Ἀσσύρια διαλαμβάνει καὶ ὅσα πρὸ τῶν Περσικῶν, ἀπὸ μέντοι τοῦ ζ' τὰ Περσικὰ διεξέρχεται· καὶ ἐν μὲν τῷ ζ' καὶ η' καὶ ι' καὶ ια' καὶ ιβ' καὶ ιγ' διέξεισι τὰ περὶ Κύρου καὶ Καμβύσου καὶ τοῦ μάγου Δαρείου τε καὶ τοῦ Ξέρξου, σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀπελέγχων ἐν πολλοῖς, καὶ λογοποιὸν ἀποκαλῶν· καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ, φησὶ δὲ αὐτὸν τῶν πλειόνων ἃ ἱστορεῖ αὐτόπτην γενόμενον ἢ παρ' αὐτῶν Περσῶν, ἔνθα τὸ ὁρᾷν μὴ ἐνεχώρει, αὐτήκοον κατα-

στάντα, οὕτω τὴν ἱστορίαν συγγράψαι. οὐχ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρτοξέρξου, εἰς ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανεν.

Diodor. II. 32.

Κτησίας δὲ ὁ Κνίδιος τοῖς μὲν χρόνοις ὑπῆρξε κατὰ τὴν Κύρου στρατείαν ἐπὶ Ἀρταξέρξην τὸν ἀδελφόν· γενόμενος δὲ αἰχμάλωτος, καὶ διὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀναληφθεὶς ὑπὸ τοῦ βασιλέως, ἑπτακαίδεκα ἔτη διετέλεσε τιμώμενος ὑπ' αὐτοῦ. οὗτος οὖν φησιν ἐκ τῶν βασιλικῶν διφθερῶν, ἐν αἷς οἱ Πέρσαι τὰς παλαιὰς πράξεις κατά τινα νόμον εἶχον συντεταγμένας, πολυπραγμονῆσαι τὰ καθ' ἕκαστον καὶ συνταξάμενος τὴν ἱστορίαν εἰς τοὺς Ἕλληνας ἐξενεγκεῖν.

Strabo XIV. p. 656.

Ἐντεῦθεν [ἐκ τῆς Κνίδου] δὲ καὶ Κτησίας, ὁ ἰατρεύσας μὲν Ἀρταξέρξην, συγγράψας δὲ τὰ Ἀσσυριακὰ καὶ τὰ Περσικά.

Plutarch. Vita Artax. p. 1012. a. Xyl.

Ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἆλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε, θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.

Id. ibid. p. 1014. c.

Κτησίας δὲ ὕστερον (ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκός ἐστι, παρόντα ταῖς πράξεσιν, οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον ὡς ἐπράχθη διηγούμενος· οἷα πάσχει πολλάκις ὁ λόγος αὐτοῦ, πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐπιτρεπόμενος τῆς ἀληθείας). . . . . .

Diodor. XIV. 46.

Κτησίας δ' ὁ συγγραφεὺς τὴν τῶν Περσικῶν ἱστορίαν εἰς τοῦτον τὸν ἐνιαυτὸν [ἐν ᾧ Διονύσιος τὸν πρὸς τοὺς Καρχηδονίους πόλεμον ἡτοίμαστο] κατέστροφεν, ἀρξάμενος ἀπὸ Νίνου καὶ Σεμιράμεως.

Aristot. Hist. Anim. VIII. 28.

Ὡς φησι Κτησίας, οὐκ ὢν ἀξιόπιστος.

Id. ibid. II. 1. s. f.

. . . . . *εἰ δεῖ πιστεῦσαι Κτησίᾳ*

Id. ibid. III. fin.

Ψευδὲς δ' ἐστὶ καὶ ὅπερ Κτησίας γέγραφε περὶ τῆς γονῆς τῶν ἐλεφάντων.

Strabo XI. p. 508.

Ῥᾷδιον δ' ἄν τις Ἡσιόδῳ καὶ Ὁμήρῳ πιστεύσειεν ἡρωολογοῦσι, καὶ τοῖς τραγικοῖς ποιηταῖς, ἢ Κτησίᾳ τε καὶ Ἡροδότῳ καὶ Ἑλλανίκῳ καὶ ἄλλοις τοιούτοις.

Plutarch. Vita Artax. p. 1017. d.

Ἐκεῖνο δὲ τοῦ Κτησίου λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάναι πρὸς τοὺς Ἕλληνας αὐτὸν μετὰ Φαΰλλου τοῦ Ζακυνθίου καί τινων ἄλλων. ὁ γὰρ Ξενοφῶν ἠπίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν. μέμνηται γὰρ αὐτοῦ, καὶ τοῖς βιβλίοις τούτοις ἐντετευχὼς δῆλός ἐστιν. οὐκ ἂν οὖν ἐλθόντα, καὶ λόγων τοσούτων ἑρμηνέα γενόμενον παρῆκεν ἀνώνυμον, Φαΰλλον δὲ τὸν Ζακύνθιον ὠνόμαζεν. ἀλλὰ δαιμονίως ὁ Κτησίας, ὡς ἔοικε, φιλότιμος ὤν, καὶ οὐχ ἧττον φιλολάκων καὶ φιλοκλέαρχος, ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δίδωσιν, ἐν αἷς γενόμενος πολλὰ καὶ καλὰ μιμνήσκεται Κλεάρχου καὶ τῆς Λακεδαίμονος. μετὰ δὲ τὴν μάχην δῶρα κάλλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσου παιδὶ, τοῦ πεσόντος ὑπὸ Κύρου, καλῶς δὲ καὶ Κτησίαν καὶ τοὺς ἄλλους ἐπετίμησεν.

Dionys. Hal. de Comp. Verb. p. 53. Reisk.

Ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου, καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος, ἡδέως μὲν ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γε, ἐφ' ὅσον ἔδει. λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ' ἐκείνοις ἥρμοσταί τινα ἡδέως, καὶ παρὰ τούτοις καλῶς· ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

§. 15.

Philistus Syracusius.

Suidas s. v.

Φίλιστος Ναυκρατίτης, ἢ Συρακούσιος, Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ, ὃς πρῶτος κατὰ ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ Τέχνην Ῥητορικήν. Αἰγυπτιακά, ἐν βιβλίοις ιβ'. Σικελικά, ἐν βιβλίοις ια'. Πρὸς τὸν Τρικάρανον, λόγον περὶ Ναυκράτεως. Περὶ Διονυσίου τοῦ τυράννου βιβλία ϛ'. Περὶ τῆς Αἰγυπτίων Θεολογίας βιβλία γ'. Δημηγορίας καὶ ἄλλα τινά. Περὶ Λιβύης καὶ Συρίας.

Diodor. XIII. 92.

Τῶν δ' ἀρχόντων ζημιούντων τὸν Διονύσιον κατὰ τοὺς νόμους ὡς θορυβοῦντα, Φίλιστος ὁ τὰς ἱστορίας ὕστερον συγγράψας, οὐσίαν ἔχων μεγάλην, ἐξέτισε τὰ πρόςτιμα, καὶ τῷ Διονυσίῳ παρεκελεύετο λέγειν ὅσα προῃρεῖτο· καὶ προςέτι εἰπόντος ὅτι καθ' ὅλην τὴν ἡμέραν, ἂν ζημιοῦν ἐθέλωσιν, ἐκτίσειν τἀργύριον ὑπὲρ αὐτοῦ, τὸ λοιπὸν θαῤῥήσας ἀνέσειε τὰ πλήθη, καὶ τὴν ἐκκλησίαν συνταράττων διέβαλλε τοὺς στρατηγούς.

Plutarch. Dion. p. 962. e.

Οἱ δὲ τῷ Δίωνι πολεμοῦντες, φοβούμενοι τὴν τοῦ Διονυσίου μεταβολήν, ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυγῆς μεταπέμπεσθαι Φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον περὶ λό-

γους, καὶ τυραννικῶν ἠθῶν ἐμπειρότατον, ὡς ἀντίταγμα πρὸς Πλάτωνα καὶ φιλοσοφίαν ἐκεῖνον ἕξοντες. ὁ γὰρ δὴ Φίλιστος ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ προθυμότατον ἑαυτὸν παρέσχεν, καὶ τὴν ἄκραν διεφύλαξε, φρουραρχῶν ἐπὶ πολὺν χρόνον· ἦν δὲ λόγος ὡς καὶ μητρὶ πλησιάζοι τοῦ πρεσβυτέρου Διονυσίου, τοῦ τυράννου μὴ παντάπασιν ἀγνοοῦντος. ἐπεὶ δὲ Λεπτίνης ἐκ γυναικὸς, ἣν διαφθείρας ἑτέρῳ συνοικοῦσαν ἔσχε, γενομένων αὐτῷ δυοῖν θυγατέρων, τὴν ἑτέραν ἔδωκε Φιλίστῳ, μηδὲ φράσας πρὸς Διονύσιον· ὀργισθεὶς ἐκεῖνος, τὴν μὲν γυναῖκα τοῦ Λεπτίνου δήσας ἐν πέδαις καθεῖρξε, τὸν δὲ Φίλιστον ἐξήλασε Σικελίας, φυγόντα παρὰ ξένους τινὰς εἰς τὸν Ἀδρίαν· ὅπου καὶ δοκεῖ τὰ πλεῖστα συνθεῖναι τῆς ἱστορίας σχολάζων· οὐ γὰρ ἐπανῆλθε τοῦ πρεσβυτέρου ζῶντος, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν (ὥσπερ εἴρηται) κατήγαγεν αὐτὸν ὁ πρὸς Δίωνα τῶν ἄλλων φθόνος, ὡς αὐτοῖς τε μᾶλλον ἐπιτήδειον ὄντα, καὶ τῇ τυραννίδι βεβαιότερον. οὗτος οὖν εὐθὺς κατελθὼν διεπεφύκει τῆς τυραννίδος.

Plutarch. de Exil. p. 605. c.

Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ἐν Θράκῃ περὶ τὴν Σκαπτὴν ὕλην, Ξενοφῶν ἐν Σκιλλοῦντι τῆς Ἠλείας, Φίλιστος ἐν Ἠπείρῳ, Τίμαιος ὁ Ταυρομενείτης ἐν Ἀθήναις.

Diodor. XV. 7.

Ἐπὶ τοσοῦτο [ὁ Διονύσιος] προῆλθε λύπης καὶ παρακοπῆς, ὥστε τῶν φίλων πολλοὺς μὲν ἐπὶ ψευδέσιν αἰτίαις ἀνελεῖν, οὐκ ὀλίγους δὲ καὶ ἐφυγάδευσεν· ἐν οἷς ἦν Φίλιστος καὶ Λεπτίνης ὁ ἀδελφὸς, ἄνδρες διαφέροντες ἀνδρείᾳ καὶ πολλὰς καὶ μεγάλας χρείας ἐν τοῖς πολέμοις αὐτῷ παρεσχημένοι. οὗτοι μὲν οὖν φυγόντες εἰς Θουρίους τῆς Ἰταλίας, καὶ παρὰ τοῖς Ἰταλιώταις μεγάλης ἀποδοχῆς τυγχάνοντες, ὕστερον δεηθέντος τοῦ Διονυσίου διηλλάγη-

σαν, καὶ κατελθόντες εἰς τὰς Συρακούσας εἰς τὴν προϋπάρξασαν εὔνοιαν ἀποκατεστάθησαν.

Plutarch. Dion. p. 973. e.

Ἐπεὶ δὲ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις, Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων, ὄντων ὁπλιτῶν, οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι, ναυάταις οὖσι, καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προςενέχθησαν. Ἔφορος μὲν οὖν φησὶν ὡς ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι· Τιμωνίδης δὲ, πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος, καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον, ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον. καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους, καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα, προπηλακίζειν, ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν, καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα, κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς, καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸν νεκρὸν ἐφαψάμενα τοῦ Φιλίστου, σύρειν διὰ τῆς πόλεως, χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα, μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑπ' αὐτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν. ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν, τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν, ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν.

Diodor. XIII. 103.

Τῶν δὲ συγγραφέων Φίλιστος τὴν πρώτην σύνταξιν τῶν Σικελικῶν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν εἰς

τὴν Ἀκράγαντος ἅλωσιν, ἐν βίβλοις ἑπτὰ διελθὼν χρόνον ἐτῶν πλείω τῶν ὀκτακοσίων· τῆς δὲ δευτέρας συντάξεως τὴν μὲν ἀρχὴν ἀπὸ τῆς προτέρας τελευτῆς πεποίηται, γέγραφε δὲ βίβλους τέτταρας.

Id. XV. 89.

Φίλιστος δὲ τὰ περὶ Διονύσιον τὸν νεώτερον ὧδε κατέστροφε [ἐν τῇ Ἐπαμινώνδου τελευτῇ], διελθὼν ἔτη πέντε ἐν βίβλοις δυσίν.

Theo Progymn. p. 9. Heins.

Ὁ Φίλιστος . . . . . τὸν Ἀττικὸν ὅλον πόλεμον ἐν τοῖς Σικελικοῖς ἐκ τοῦ Θουκυδίδου μετενήνοχε.

Quintilian. X. 1.

Philistus quoque meretur, qui turbae quamvis bonorum post hos [Thucydidem, Herodotum, Theopompum] auctorum eximatur, imitator Thucydidis, et ut multo infirmior, ita aliquatenus lucidior.

Dionys. Hal. Epist. ad Pomp. p. 779. seqq.

Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον δόξειεν ἐοικέναι καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα. οὔτε γὰρ ὑπόθεσιν εἴληφε πολυωφελῆ καὶ κοινὴν, ὥσπερ Θουκυδίδης, ἀλλὰ μίαν, καὶ ταύτην τοπικήν. διῄρηκε δ' αὐτὴν εἰς ἐπιγραφὰς δύο, περὶ Σικελίας μὲν τὴν προτέραν ἐπιγράφων, περὶ Διονυσίου δὲ τὴν ὑστέραν· ἔστι δε μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ τέλους τῆς Σικελικῆς. τάξιν δ' οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυςπαρακολούθητον, χεῖρον τῆς Θουκυδίδου, καὶ πρᾶγμα ἔξωθεν οὐ βούλεται περιλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ' ἔστιν ὁμοειδής. ἦθός τε κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως, ᾗ Θουκυδίδης κέχρηται, ᾗ μὲν σημειῶδες καὶ περίεργον πέφυκε, τὸ δὲ στρογγύλον καὶ πικρὸν καὶ ἐνθυμηματικὸν μέμικται. τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐν-

θυμημάτων κατὰ πολὺ ὑστερεῖ. οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς· ἡ μὲν γὰρ πλήρης σχημάτων, καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν· ἡ δὲ Φιλίστου φράσις ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ' αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σικελίας· Συρακούσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ Ἐνναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους, πλὴν Γελῴων, ἀθροίσαντες· Γελῷοι δὲ Συρακουσίους οὐκ ἔφασαν πολεμήσειν· Συρακούσιοι δὲ πυνθανόμενοι Καμαριναίους τὸν Ὕρμινὸν διαβάντας. Ταῦτα δ' ἀηδῆ πάνυ ὄντα ἐμοὶ φαίνεται· μικρός τε περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ ἀτελής, ἐάν τε πολιορκίας διηγῆται, ἐάν τ' οἰκισμούς, ἐάν τ' ἐπαίνους, ἐάν τε ψόγους διαπορεύηται· ἀλλ' οὐδὲ τοῖς μεγέθεσι τῶν ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ἀλλὰ ψοφοδεεῖς καὶ τοὺς δημηγοροῦντας καταλείπειν τὰς δυνάμεις καὶ τὰς προαιρέσεις ὁμοίως ἅπαντας ποιεῖ. εὐστομίαν δέ τινα φυσικὴν εἰςφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. πρὸς δὲ τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

Theo Progymn. p. 44. Heins.

Οὐ γὰρ ἁπλῶς χρὴ παραιτεῖσθαι [τὸ παρεκβάσεις ἐπεμβάλλεσθαι], καθάπερ ὁ Φίλιστος (ἀναπαύει γὰρ τὴν διάνοιαν τῶν ἀκροατῶν), ἀλλὰ τὴν τηλικαύτην τὸ μῆκος, ἥτις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν ἀκροωμένων, ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς.

Demetrius de Elocut. §. 203.

Φεύγειν δὲ καὶ τὰς πλαγιότητας· καὶ γὰρ τοῦτο ἀσαφές· ὥσπερ ἡ Φιλίστου λέξις.

§. 16.

Eudoxus Cnidius.

Diogenes Laert. Vit. Eudoxi Lib. VIII.

Εὔδοξος, Αἰσχίνου, Κνίδιος, ἀστρόλογος, γεωμέτρης, ἰατρὸς, νομοθέτης . . . . . ἀπεδέχθη δὴ ἐν τῇ πατρίδι μεγαλοτίμως, ὥς τό γε αὐτοῦ ψήφισμα γενόμενον δηλοῖ. ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπιφανέστατος ἐγένετο, γράψας τοῖς ἰδίοις πολίταις νόμους, ὥς φησιν Ἕρμιππος ἐν τετάρτῃ περὶ τῶν ἑπτὰ σοφῶν, καὶ ἀστρολογούμενα, καὶ γεωμετρούμενα καὶ ἕτερ' ἄττα ἀξιόλογα . . . . . ὁ δ' αὐτός [Ἀπολλόδωρος ἐν χρονικοῖς] φησι τὸν Κνίδιον Εὔδοξον ἀκμάσαι κατὰ τὴν γ' καὶ ο' Ὀλυμπιάδα, εὑρεῖν τε τὰ περὶ τὰς καμπύλας γραμμάς. ἐτελεύτησε δὲ τρίτον ἄγων καὶ ν' ἔτος.

Strabo IX. p. 390.

Οὕτω δ' εἰρηκότος Εὐδόξου, μαθηματικοῦ ἀνδρὸς καὶ σχημάτων ἐμπείρου καὶ κλιμάτων, καὶ τοὺς τόπους τούτους εἰδότος κ. τ. λ.

Id. XIV. p. 656.

Ἄνδρες δ' ἀξιόλογοι Κνίδιοι πρῶτον μὲν Εὔδοξος, ὁ μαθηματικὸς, τῶν Πλάτωνος ἑταίρων.

§. 18.

Theopompus Chius.

Suidas s. v.

Θεόπομπος, Χῖος, ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς κατὰ τοὺς χρόνους τῆς ἀναρχίας Ἀθηναίων, ἐπὶ τῆς ἐνενηκοστῆς τρίτης Ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν βιβλίοις β'. Φιλιππικὰ ἐν βιβλίοις οζ'. Ἑλληνικὰς ἱστορίας· ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καὶ εἰσὶν ἐν βιβλίοις ια', ἔχουσαι τὰ ἀπὸ τοῦ Πε-

λοποννησιακοῦ πολέμου καὶ λοιπά. Ἔγραψε καὶ ἕτερα πλεῖστα.

Photius Bibl. Cod. 176. p. 202. seq. H.

Ἀνεγνώσθησαν Θεοπόμπου λόγοι ἱστορικοί. ν' δὲ καὶ γ' εἰσὶν οἱ σωζόμενοι αὐτοῦ τῶν ἱστορικῶν λόγοι. διαπεπτωκέναι δὲ καὶ τῶν παλαιῶν τινὲς ἔφησαν τήν τε ἕκτην καὶ ἑβδόμην, καὶ δὴ καὶ τὴν ἐνάτην καὶ εἰκοστὴν καὶ τὴν τριακοστήν. ἀλλὰ ταύτας μὲν οὐδ' ἡμεῖς εἴδομεν, Μηνοφάνης δέ τις τὰ περὶ Θεόπομπον διεξιὼν (ἀρχαῖος δὲ καὶ οὐκ εὐκαταφρόνητος ὁ ἀνήρ) καὶ τὴν δωδεκάτην συνδιαπεπτωκέναι λέγει· καίτοι αὐτὴν ἡμεῖς ταῖς ἄλλαις συνανέγνωμεν. . . . . . Ἔστι δὲ Θεόπομπος Χῖος μὲν τὸ γένος, υἱὸς Δαμοστράτου, φυγεῖν δὲ λέγεται τῆς πατρίδος ἅμα τῷ πατρὶ, ἐπὶ λακωνισμῷ τοῦ πατρὸς ἁλόντος, ἀνασωθῆναι δὲ τῇ πατρίδι τελευτήσαντος αὐτῷ τοῦ πατρὸς, τὴν δὲ κάθοδον Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως δι' ἐπιστολῶν τῶν πρὸς τοὺς Χίους καταπραξαμένου· ἐτῶν δὲ εἶναι τότε τὸν Θεόπομπον ε' καὶ μ'. μετὰ δὲ τὸν Ἀλεξάνδρου θάνατον πανταχόθεν ἐκπεσόντα εἰς Αἴγυπτον ἀφικέσθαι, Πτολεμαῖον δὲ τὸν ταύτης βασιλέα οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι, διεσώσαντο. συνακμάσαι δὲ λέγει αὐτὸς ἑαυτὸν Ἰσοκράτει τε τῷ Ἀθηναίῳ καὶ Θεοδέκτῃ τῷ Φασηλίτῃ καὶ Ναυκράτει τῷ Ἐρυθραίῳ, καὶ τούτους ἅμα αὐτῷ τὰ πρωτεῖα τῆς ἐν λόγοις παιδείας ἔχειν ἐν τοῖς Ἕλλησιν· ἀλλὰ Ἰσοκράτην μὲν δι' ἀπορίαν βίου καὶ Θεοδέκτην μισθοῦ λόγους γράφειν καὶ σοφιστεύειν, ἐκπαιδεύοντας τοὺς νέους, κἀκεῖθεν καρπουμένους τὰς ὠφελείας, αὐτὸν δὲ καὶ Ναυκράτην αὐταρκῶς ἔχοντας ἐν τούτοις ἀεὶ τὴν διατριβὴν ἐν τῷ φιλοσοφεῖν καὶ φιλομαθεῖν ποιεῖσθαι καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ παράλογον ἀντιποιουμένῳ τῶν πρωτείων, οὐκ ἐλαττόνων μὲν ἢ δισμυρίων ἐπῶν τοὺς ἐπιδεικτικοὺς τῶν λόγων συγγραψαμένῳ, πλείους δὲ ἢ

ιε' μυριάδας, ἐν οἷς τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις μέχρι νῦν ἀπαγγελλομένας ἔστι λαβεῖν. ἔτι δὲ καὶ διότι οὐδείς ἐστι τόπος κοινὸς τῶν Ἑλλήνων οὐδὲ πόλις ἀξιόχρεως, εἰς οὓς αὐτὸς οὐκ ἐπιδημῶν καὶ τὰς τῶν λόγων ἐπιδείξεις ποιούμενος οὐχὶ μέγα κλέος καὶ ὑπόμνημα τῆς ἐν λόγοις αὐτοῦ κατέλιπεν ἀρετῆς. ταῦτα αὐτὸς περὶ αὐτοῦ λέγων, τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔχοντας ἐν λόγοις τὸ πρωτεύειν πολὺ καταδεεστέρους ἀποφαίνεται τῶν καθ' ἑαυτὸν οὐδὲ τῆς δευτέρας τάξεως ἀξιουμένων, καὶ τοῦτο δῆλον εἶναί φησι καὶ ἐξ αὐτῶν τῶν παρ' ἑκατέροις ἐκπεπονημένων καὶ καταλελειμμένων λόγων· πολλὴν γὰρ τὴν τοιαύτην παίδευσιν ἐπίδοσιν λαβεῖν κατὰ τὴν αὐτοῦ ἡλικίαν.

Diodor. XIII. 42.

Θεόπομπος δὲ τὰς Ἑλληνικὰς πράξεις διελθὼν ἐπ' ἔτη ἑπτακαίδεκα, καταλήγει τὴν ἱστορίαν εἰς τὴν περὶ Κνίδον ναυμαχίαν ἐν βίβλοις δυοκαίδεκα.

Id. XIV. 84.

Θεόπομπος δ' ὁ Χῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν κατέστροφεν εἰς τοῦτον τὸν ἐνιαυτὸν καὶ εἰς τὴν περὶ Κνίδον ναυμαχίαν, γράψας βίβλους δώδεκα. ὁ δὲ συγγραφεὺς οὗτος ἦρκται μὲν ἀπὸ τῆς περὶ Κυνὸς σῆμα ναυμαχίας, εἰς ἣν Θουκυδίδης κατέληξε τὴν πραγματείαν, ἔγραψε δὲ χρόνον ἐτῶν δεκαεπτά.

Id. XVI. 3.

Τῶν δὲ συγγραφέων Θεόπομπος ὁ Χῖος τὴν ἀρχὴν τῶν περὶ Φίλιππον ἱστοριῶν ἐντεῦθεν ποιησάμενος [ἀπὸ τῆς ὑπὲρ Ἀργαίου νίκης] γέγραφε βίβλους ὀκτὼ πρὸς ταῖς πεντήκοντα, ἐξ ὧν πέντε διαφωνοῦσιν.

Apollon. Dysc. Hist. Comment. c. 1.

Καθάπερ ἄλλοι τε εἰρήκασιν, ἔτι καὶ Θεόπομπος ἐν ταῖς Ἱστορίαις ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια.

Pausan. VI. 18.

Φαίνεται δὲ καὶ ἄνδρα ὁ Ἀναξιμένης ἐχθρὸν οὐκ ἀμαθέστατα, ἀλλὰ καὶ ἐπιφθονώτατα ἀμυνάμενος. ἐπεφύκει μὲν αὐτὸς σοφιστὴς, καὶ σοφιστῶν λόγους μιμεῖσθαι· ὡς δέ οἱ διάφορα ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου, γράφει βιβλίον ἐς Ἀθηναίους, καὶ ἐπὶ Λακεδαιμονίους ὁμοῦ καὶ Θηβαίους συγγραφὴν λοίδορον. ὡς δὲ ἦν ἐς τὸ ἀκριβέστατον αὐτῷ μεμιμημένα, ἐπιγράψας τοῦ Θεοπόμπου τὸ ὄνομα τῷ βιβλίῳ, διέπεμπεν ἐς τὰς πόλεις. καὶ αὐτός τε συγγεγραφὼς ἦν, καὶ τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἐπηύξετο.

Ioseph. Cont. Ap. T. II. p. 459. Hav.

Ὁ δὲ τὸν Τριπολιτικὸν γράψας (οὐ γὰρ δὴ Θεόπομπός ἐστιν, ὥς τινες οἴονται). . . .

Polyb. VIII. 11.

Μάλιστα δ' ἄν τις ἐπιτιμήσειε περὶ τοῦτο τὸ μέρος Θεοπόμπῳ· ὅς γ' ἐν ἀρχῇ τῆς περὶ Φιλίππου συντάξεως δι' αὐτὸ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας, διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα τὸ παράπαν, οἷον τὸν Ἀμύντου Φίλιππον· μετὰ ταῦτα παρὰ πόδας, ἔν τε τῷ προοιμίῳ, καὶ παρ' ὅλην δὲ τὴν ἱστορίαν, ἀκρατέστατον μὲν αὐτὸν ἀποδείκνυσι πρὸς γυναῖκας, ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὑτὸν διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν· ἀδικώτατον δὲ καὶ κακοπραγμονέστατον περὶ τὰς τῶν φίλων καὶ συμμάχων κατασκευάς· πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον καὶ πεπραξικοπηκότα μετὰ δόλου καὶ βίας· ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥστε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις. εἰ δέ τις ἀναγνῶναι βουληθείη τὴν ἀρχὴν τῆς ἐνάτης καὶ μ' αὐτῷ βίβλου, παντάπασιν ἂν θαυμάσαι τὴν ἀτοπίαν τοῦ συγγραφέως.

Dionys. Hal. de Vet. Script. Cens. p. 428.

Θεόπομπος δὲ ὁ Χῖος πρῶτον μὲν ἐν τῷ προελέσθαι τοιαύτης ἱστορίας ὑποθέσεις ἄξιος ζήλου· μετὰ δὲ, οἰκονομίας· ἔχει οὖν τὸ εὐπαρακολούθητον καὶ σαφὲς ἡ γραφή· ἔτι δὲ καὶ τῆς ποικιλίας τῆς ἐν τοῖς πράγμασιν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐφ' ἑκάστοις παῤῥησίας· καὶ μὴν οὐδὲ τοῦ τὰς ἀποῤῥήτους τῶν γενομένων ἢ λεχθέντων αἰτίας ἐγκρύψασθαι, στοχάσασθαι δ' ἀκριβῶς τῆς τῶν εἰπόντων ἢ πεποιηκότων γνώμης. τὸ λεκτικὸν αὐτῷ τῷ Ἰσοκρατικῷ παραπλήσιον, πλὴν ὅσον μικρόν ἐστι καὶ σφόδρα εὔτονον, τὰ δ' ἄλλα ὁμοία ἡ λέξις. καὶ γὰρ κοινὴ καὶ σαφὴς καὶ μεγαλοπρεπὴς καὶ σεμνὴ καὶ πομπικὴ, συνθέσεως τετυχηκυῖα τῆς πρὸς ἡδονήν. πονηρὰ δὲ καὶ πολλή τις τῶν φωνηέντων ἡ σύγκρουσις· καὶ κατ' ἐπιτήδευμα μὲν αἱ κυκλικαὶ περίοδοι καὶ ὁμοιοειδεῖς τῶν σχηματισμῶν. διήμαρτε δὲ καὶ, ὃ μάλιστα ἐντὸς πρακτικῆς, κατὰ τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς. καὶ γὰρ ψυχρῶς ἔνιαι καὶ ἀκαίρως λέγονται· καθάπερ τὰ περὶ τὸν ἐν Μακεδονίᾳ Σειληνὸν ἱστορηθέντα, καὶ τὰ περὶ τὸν δράκοντα τὸν πρὸς τῇ τριήρει ναυμαχοῦντα.

Lucian. de Consc. Hist. 59. T. II. p. 67. Reitz.

Καὶ τὴν αὐτὴν Θεοπόμπῳ αἰτίαν ἕξεις, φιλαπεχθημόνως κατηγοροῦντι τῶν πλείστων, καὶ διατριβὴν ποιουμένῳ (περὶ) τὸ πρᾶγμα, ὡς κατηγορεῖν μᾶλλον ἢ ἱστορεῖν τὰ πεπραγμένα.

Aelian. Var. Hist. III. 18.

Καὶ ταῦτα, εἴ τῳ πιστὸς [Θεόπομπος] ὁ Χῖος λέγων, πεπιστεύσθω. ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθόλογος, καὶ ἐν τούτοις καὶ ἐν ἄλλοις δέ.

Strabo I. p. 43.

Θεόπομπος δὲ ἐξομολογεῖται φήσας, ὅτι καὶ μύθους ἐν ταῖς ἱστορίαις ἐρεῖ κρεῖττον ἢ ὡς Ἡρόδοτος καὶ Κτησίας καὶ Ἑλλάνικος καὶ οἱ τὰ Ἰνδικὰ συγγράψαντες.

Athenaeus III. p. 85. a.

Τούτοις εἴ τις ἀπιστεῖ, μαθέτω καὶ παρὰ Θεοπόμπου τοῦ Χίου, ἀνδρὸς φιλαλήθους καὶ πολλὰ χρήματα καταναλώσαντος εἰς τὴν περὶ τῆς ἱστορίας ἐξέτασιν ἀκριβῆ.

Plutarch. Reip. Ger. Praec. p. 803. b.

Ἐπὶ δὲ τῶν Ἐφόρου καὶ Θεοπόμπου καὶ Ἀναξιμένους ῥητορειῶν καὶ περιόδων, ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρατάξαντες, ἔστιν εἰπεῖν, Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.

Demetrius de Elocut. §. 258.

Τὰ δὲ ἀντίθετα καὶ παρόμοια ἐν ταῖς περιόδοις φευκτέον· ὄγκον γὰρ ποιοῦσιν, οὐ δεινότητα· πολλαχοῦ δὲ καὶ ψυχρότητα ἀντὶ δεινότητος. οἷον ὡς ὁ Θεόπομπος κατὰ τῶν ἑταίρων τῶν Φιλίππου λέγων, ἔλυσε τῇ ἀντιθέσει τὴν δεινότητα, „Ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες, λέγων, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν.“

Longinus de Subl. sect. 43. 2. p. 144. Weisk.

Ὁμοίως καὶ ὁ Θεόπομπος ὑπερφυῶς σκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ᾽ Αἴγυπτον, ὀνοματίοις τισὶ τὰ ὅλα διέβαλεν.

§. 19.

Ephorus Cumaeus.

Suidas s. v.

Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιστράτου, Χῖος, ἄμφω Ἰσοκράτους μαθηταί, ἀπ᾽ ἐναντίων τό τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι. ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς, τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν· ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστός· φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφο-

ρον κέντρου. φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος, ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος. ἐπέστελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ· καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά. λέγεται δὲ καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

Strabo XIII. p. 622.

Ἀνὴρ δ' ἄξιος μνήμης ἐκ τῆςδε τῆς πόλεως [τῆς Κύμης] ἀναντίλεκτως μέν ἐστιν Ἔφορος, τῶν Ἰσοκράτους γνωρίμων τοῦ ῥήτορος, ὁ τὴν ἱστορίαν συγγράψας καὶ τὰ περὶ τῶν εὑρημάτων.

Diodor. XVI. 76.

Τῶν δὲ συγγραφέων Ἔφορος μὲν ὁ Κυμαῖος τὴν ἱστορίαν ἐνθάδε κατέστροφεν εἰς τὴν Περίνθου πολιορκίαν. περιείληφε δὲ τῇ γραφῇ πράξεις τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων, ἀρξάμενος ἀπὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου· χρόνον δὲ περιέλαβε σχεδὸν ἐτῶν ἑπτακοσίων καὶ πεντήκοντα, καὶ βίβλους γέγραφε τριάκοντα, προοίμιον ἑκάστῃ προθείς.

Clemens Alex. Strom. I. p. 403. Pott.

Ἐφ' οὗ φασὶν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς μὲν Φανείας, ἔτη ἑπτακόσια δεκαπέντε· ὡς δὲ Ἔφορος, ἑπτακόσια τριάκοντα πέντε.

Diodor. IV. 1.

Ἔφορος μὲν οὖν ὁ Κυμαῖος, Ἰσοκράτους ὢν μαθητής, ὑποστησάμενος γράφειν τὰς κοίνας πράξεις, τὰς μὲν παλαιὰς μυθολογίας ὑπερέβη, τὰ δ' ἀπὸ τῆς Ἡρακλειδῶν καθόδου πραχθέντα συνταξάμενος, ταύτην ἀρχὴν ἐποιήσατο τῆς ἱστορίας.

Id. V. 1.

Ἔφορος δὲ τὰς κοινὰς πράξεις ἀναγράφων, οὐ μόνον κατὰ τὴν λέξιν ἀλλὰ καὶ κατὰ τὴν οἰκονομίαν ἐπιτέτευχε·

τῶν γὰρ βίβλων ἑκάστην πεποίηκε περιέχειν κατὰ γένος τὰς πράξεις.

Athenaeus VI. p. 232. d.

Ἔφορος δὲ ἢ Δημόφιλος ὁ υἱὸς αὐτοῦ ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέγων φησίν.

Diodor. XVI. 14.

Τῶν δὲ συγγραφέων Δημόφιλος μὲν ὁ Ἐφόρου τοῦ ἱστοριογράφου υἱὸς τὸν παραλειφθέντα πόλεμον ὑπὸ τοῦ πατρὸς, ὀνομασθέντα δὲ ἱερὸν, συντεταγμένος, ἐντεῦθεν ἦρκται ἀπὸ τῆς καταλήψεως τοῦ ἐν Δελφοῖς ἱεροῦ καὶ τῆς συλήσεως τοῦ μαντείου ὑπὸ Φιλομήλου τοῦ Φωκέως.

Polyb. V. 33.

. . . . . *Ἔφορον, τὸν πρῶτον καὶ μόνον ἐπιβεβλημένον τὰ καθόλου γράφειν.*

Strabo I. init.

Οἵ τε γὰρ πρῶτοι θαῤῥήσαντες αὐτῆς [*τῆς γεωγραφικῆς πραγματείας*] *ἅψασθαι, τοιοῦτοί τινες ὑπῆρξαν· Ὅμηρός τε καὶ Ἀναξίμανδρος ὁ Μιλήσιος καὶ Ἑκαταῖος ὁ πολίτης αὐτοῦ, καθὼς καὶ Ἐρατοσθένης φησὶ, καὶ Δημόκριτος δὲ καὶ Εὔδοξος καὶ Δικαίαρχος καὶ Ἔφορος, καὶ ἄλλοι πλείους· ἔτι δὲ οἱ μετὰ τούτους, Ἐρατοσθένης τε καὶ Πολύβιος καὶ Ποσειδώνιος, ἄνδρες φιλόσοφοι.*

Id. VIII. p. 332.

Οἱ δὲ [*τὰ γεωγραφικὰ ἐπραγματεύσαντο*] *ἐν τῇ τῆς ἱστορίας γραφῇ χωρὶς ἀποδείξαντες τὴν τῶν ἠπείρων τοπογραφίαν, καθάπερ Ἔφορός τε ἐποίησε καὶ Πολύβιος.*

Harpocratio s. v. *Ἀρχαίως.*

Περὶ μὲν γὰρ τῶν καθ' ἡμᾶς γεγενημένων, φησὶ, τοὺς ἀκριβέστατα λέγοντας πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω διεξιόντας ἀπιθανοτάτους εἶναι νομί-

ζομεν, ὑπολαμβάνοντες οὔτε τὰς πράξεις ἁπάσας οὔτε τῶν λόγων τοὺς πλείστους εἰκὸς εἶναι μνημονεύεσθαι διὰ τοσούτων.

Polyb. XII. 27.

Ὁ μὲν γὰρ Ἔφορός φησιν, εἰ δυνατὸν ἦν αὐτοὺς [τοὺς συγγραφέας] παρεῖναι πᾶσι τοῖς πράγμασι, ταύτην δὴ διαφέρειν πολὺ τῶν ἐμπειριῶν.

Strabo IX. p. 422.

Ἔφορος δ' ᾧ τὸ πλεῖστον προςχρώμεθα διὰ τὴν περὶ ταῦτα ἐπιμέλειαν, καθάπερ καὶ Πολύβιος μαρτυρῶν τυγχάνει, ἀνὴρ ἀξιόλογος, δοκεῖ μοι τἀναντία ποιεῖν ἔσθ' ὅτε τῇ προαιρέσει καὶ ταῖς ἐξ ἀρχῆς ὑποσχέσεσιν. ἐπιτιμήσας γοῦν τοῖς φιλομυθοῦσιν ἐν τῇ τῆς ἱστορίας γραφῇ καὶ τὴν ἀλήθειαν ἐπαινέσας, προςτίθησι τῷ περὶ τοῦ μαντείου τούτου λόγῳ σεμνήν τινα ὑπόσχεσιν, ὡς πανταχοῦ μὲν ἄριστον νομίζει τἀληθὲς, μάλιστα δὲ κατὰ τὴν ὑπόθεσιν ταύτην. ἄτοπον γὰρ, εἰ περὶ μὲν τῶν ἄλλων ἀεὶ τὸν τοιοῦτον τρόπον διώκομεν, φησὶ, περὶ δὲ τοῦ μαντείου λέγοντες, ὃ πάντων ἐστὶν ἀψευδέστατον, τοῖς οὕτως ἀπίστοις καὶ ψεύδεσι χρησόμεθα λόγοις. ταῦτα δ' εἰπὼν ἐπιφέρει παραχρῆμα, ὅτι ὑπολαμβάνουσι κατασκευάσαι τὸ μαντεῖον Ἀπόλλωνα μετὰ Θέμιδος, ὠφελῆσαι βουλόμενον τὸ γένος ἡμῶν κ. τ. λ.

Id. VI. p. 260.

Τῆς δὲ τῶν Λοκρῶν νομογραφίας μνησθεὶς Ἔφορος, ἣν Ζάλευκος συνέταξεν ἔκ τε τῶν Κρητικῶν νομίμων καὶ Λακωνικῶν καὶ ἐκ τῶν Ἀρεοπαγιτικῶν, φησὶν ἐν τοῖς πρώτοις καινίσαι τοῦτον τὸν Ζάλευκον, ὅτι, τῶν πρότερον τὰς ζημίας τοῖς δικασταῖς ἐπιτρεψάντων ὁρίζειν ἐφ' ἑκάστοις τοῖς ἀδικήμασιν, ἐκεῖνος ἐν τοῖς νόμοις διώρισεν κ. τ. λ.

Id. VII. p. 302.

Ἔφορος δ' ἐν τῇ τετάρτῃ μὲν τῆς ἱστορίας, Εὐρώπῃ δ' ἐπιγραφομένῃ, βίβλῳ, περιοδεύσας τὴν Εὐρώπην μέχρι Σκυθῶν, ἐπὶ τέλει φησὶν, εἶναι τῶν τε ἄλλων Σκυθῶν καὶ τῶν Σαυροματῶν τοὺς βίους ἀνομοίους. τοὺς μὲν γὰρ εἶναι χαλεποὺς, ὥστε καὶ ἀνθρωποφαγεῖν, τοὺς δὲ καὶ τῶν ἄλλων ζώων ἀπέχεσθαι. οἱ μὲν οὖν ἄλλοι, φησὶ, τὰ περὶ τῆς ὠμότητος αὐτῶν λέγουσιν, εἰδότες τὸ δεινὸν καὶ τὸ θαυμαστὸν ἐκπληκτικὸν ὂν κ. τ. κ.

Id. X. p. 465.

Ὁ ἐσπουδασμένως οὕτως ἐπαινέσας αὐτὸν [τὸν Ἔφορον] Πολύβιος, καὶ φήσας, περὶ τῶν Ἑλληνικῶν καλῶς μὲν Εὔδοξον, κάλλιστα δ' Ἔφορον ἐξηγεῖσθαι περὶ κτίσεων, συγγενειῶν, μεταναστάσεων, ἀρχηγετῶν, κ. τ. λ.

Ioseph. Cont. Ap. L. I. §. 12.

. . . . . οἱ δοκοῦντες ἀκριβέστατοι συγγραφεῖς, ὧν ἐστιν Ἔφορος.

Diodor. I. 39.

Ἔφορος δὲ καινοτάτην αἰτίαν εἰςφέρων πιθανολογεῖν μὲν πειρᾶται, τῆς δ' ἀληθείας οὐδαμῶς ἐπιτυγχάνων θεωρεῖται. φησὶ γὰρ ἅπασαν τὴν Αἴγυπτον ποταμόχωστον οὖσαν καὶ χαύνην, ἔτι δὲ κισηρώδη τὴν φύσιν, ῥαγάδας τε μεγάλας καὶ διηνεκεῖς ἔχειν· διὰ δὲ τούτων εἰς ἑαυτὴν ἀναλαμβάνειν ὑγροῦ πλῆθος, καὶ κατὰ μὲν τὴν χειμερινὴν ὥραν συνέχειν ἐν ἑαυτῇ τοῦτο, κατὰ δὲ τὴν θερινὴν ὥσπερ ἱδρῶτάς τινας ἐξ αὐτῆς πανταχόθεν ἀνιέναι, καὶ διὰ τούτων πληροῦν τὸν ποταμόν [τὸν Νεῖλον].

Dionys. Hal. de Comp. Verb. p. 173. Reisk.

Ἐποποιῶν μὲν οὖν ἔγωγε μάλιστα νομίζω τουτονὶ τον χαρακτῆρα [τὸν τῆς γλαφυρᾶς καὶ ἀνθηρᾶς συνθέσεως] ἐπεξεργάσασθαι Ἡσίοδον· μελοποιῶν δὲ Σαπφὼ, καὶ μετὰ ταύτην Ἀνακρέοντά τε καὶ Σιμωνίδην· τραγῳδοποιῶν δὲ

ρον κέντρον. φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος, ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος. ἐπέστελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ· καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά. λέγεται δὲ καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

Strabo XIII. p. 622.

Ἀνὴρ δ' ἄξιος μνήμης ἐκ τῆςδε τῆς πόλεως [τῆς Κύμης] ἀναντιλέκτως μέν ἐστιν Ἔφορος, τῶν Ἰσοκράτους γνωρίμων τοῦ ῥήτορος, ὁ τὴν ἱστορίαν συγγράψας καὶ τὰ περὶ τῶν εὑρημάτων.

Diodor. XVI. 76.

Τῶν δὲ συγγραφέων Ἔφορος μὲν ὁ Κυμαῖος τὴν ἱστορίαν ἐνθάδε κατέστροφεν εἰς τὴν Περίνθου πολιορκίαν. περιείληφε δὲ τῇ γραφῇ πράξεις τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων, ἀρξάμενος ἀπὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου· χρόνον δὲ περιέλαβε σχεδὸν ἐτῶν ἑπτακοσίων καὶ πεντήκοντα, καὶ βίβλους γέγραφε τριάκοντα, προοίμιον ἑκάστῃ προθείς.

Clemens Alex. Strom. I. p. 403. Pott.

Ἐφ' οὗ φασὶν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι, ὡς μὲν Φανείας, ἔτη ἑπτακόσια δεκαπέντε· ὡς δὲ Ἔφορος, ἑπτακόσια τριάκοντα πέντε.

Diodor. IV. 1.

Ἔφορος μὲν οὖν ὁ Κυμαῖος, Ἰσοκράτους ὢν μαθητής, ὑποστησάμενος γράφειν τὰς κοίνας πράξεις, τὰς μὲν παλαιὰς μυθολογίας ὑπερέβη, τὰ δ' ἀπὸ τῆς Ἡρακλειδῶν καθόδου πραχθέντα συνταξάμενος, ταύτην ἀρχὴν ἐποιήσατο τῆς ἱστορίας.

Id. V. 1.

Ἔφορος δὲ τὰς κοινὰς πράξεις ἀναγράφων, οὐ μόνον κατὰ τὴν λέξιν ἀλλὰ καὶ κατὰ τὴν οἰκονομίαν ἐπιτέτευχε·

τῶν γὰρ βίβλων ἑκάστην πεποίηκε περιέχειν κατὰ γένος τὰς πράξεις.

Athenaeus VI. p. 232. d.

Ἔφορος δὲ ἢ Δημόφιλος ὁ υἱὸς αὐτοῦ ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ λέγων φησίν.

Diodor. XVI. 14.

Τῶν δὲ συγγραφέων Δημόφιλος μὲν ὁ Ἐφόρου τοῦ ἱστοριογράφου υἱὸς τὸν παραλειφθέντα πόλεμον ὑπὸ τοῦ πατρὸς, ὀνομασθέντα δὲ ἱερὸν, συντεταγμένος, ἐντεῦθεν ἦρκται ἀπὸ τῆς καταλήψεως τοῦ ἐν Δελφοῖς ἱεροῦ καὶ τῆς συλήσεως τοῦ μαντείου ὑπὸ Φιλομήλου τοῦ Φωκέως.

Polyb. V. 33.

. . . . . Ἔφορον, τὸν πρῶτον καὶ μόνον ἐπιβεβλημένον τὰ καθόλου γράφειν.

Strabo I. init.

Οἵ τε γὰρ πρῶτοι θαῤῥήσαντες αὐτῆς [τῆς γεωγραφικῆς πραγματείας] ἅψασθαι, τοιοῦτοί τινες ὑπῆρξαν· Ὅμηρός τε καὶ Ἀναξίμανδρος ὁ Μιλήσιος καὶ Ἑκαταῖος ὁ πολίτης αὐτοῦ, καθὼς καὶ Ἐρατοσθένης φησὶ, καὶ Δημόκριτος δὲ καὶ Εὔδοξος καὶ Δικαίαρχος καὶ Ἔφορος, καὶ ἄλλοι πλείους· ἔτι δὲ οἱ μετὰ τούτους, Ἐρατοσθένης τε καὶ Πολύβιος καὶ Ποσειδώνιος, ἄνδρες φιλόσοφοι.

Id. VIII. p. 332.

Οἱ δὲ [τὰ γεωγραφικὰ ἐπραγματεύσαντο] ἐν τῇ τῆς ἱστορίας γραφῇ χωρὶς ἀποδείξαντες τὴν τῶν ἠπείρων τοπογραφίαν, καθάπερ Ἔφορός τε ἐποίησε καὶ Πολύβιος.

Harpocratio s. v. Ἀρχαίως.

Περὶ μὲν γὰρ τῶν καθ᾽ ἡμᾶς γεγενημένων, φησὶ, τοὺς ἀκριβέστατα λέγοντας πιστοτάτους ἡγούμεθα, περὶ δὲ τῶν παλαιῶν τοὺς οὕτω διεξιόντας ἀπιθανωτάτους εἶναι νομί-

μεισαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.

Diogenes Laert. Vit. Heraclid. L. V. extr.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης, τοῦ Πόντου, ἀνὴρ πλούσιος· Ἀθήνησι δὲ παρέβαλε πρῶτον μὲν Σπευσίππῳ, ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε, καὶ τὰ Πλάτωνος ἐζηλώκει· καὶ ὕστερον ἤκουσεν Ἀριστοτέλους, ὥς φησι Σωτίων ἐν διαδοχαῖς. οὗτος ἐσθῆτι τε μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν, ἀλλὰ Πομπικὸν καλεῖσθαι, πρᾶός τε ἦν τὸ βάδισμα καὶ σεμνός. φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά τε καὶ ἄριστα. διάλογοι, ὧν κ. τ. λ.

Id. Ibid.

Ἔστι δ' αὐτῷ καὶ μεσότης τὶς ὁμιλητικὴ φιλοσόφων τε καὶ στρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν πρὸς ἀλλήλους διαλεγομένων. ἀλλὰ καὶ γεωμετρικά ἐστιν αὐτοῦ καὶ διαλεκτικά. ἄλλως τε ἐν ἅπασι ποικίλος τε καὶ διηρημένος τὴν λέξιν ἐστὶ, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος. δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν ὁμωνύμοις, ὃς καὶ τοιόνδε ἱστορεῖ περὶ αὐτοῦ, θρέψαι αὐτὸν δράκοντα ἐκ νέου κ. τ. λ.

Id. ibid.

Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν ποιεῖν καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν· Χαμαιλέων τε τὰ παρ' ἑαυτῷ φησὶ κλέψαντα αὐτὸν τὰ περὶ Ἡσιόδου καὶ Ὁμήρου γράψαι· ἀλλὰ καὶ Ἀντόδωρος Ἐπικούρειος ἐπιτιμᾷ αὐτῷ.

Plutarch. Adv. Colot. p. 1126. b.

Πλάτων δὲ καὶ καλοὺς μὲν ἐν γράμμασι λόγους περὶ νόμων καὶ πολιτείας ἀπέλιπε, πολὺ δὲ κρείττονας ἐνεποίησε τοῖς ἑταίροις, ἀφ' ὧν Σικελία διὰ Δίωνος ἠλευθε-

Plutarch. Alexand. p. 695. b.

Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον· φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὐτοῦ τοῖς διαβάλλουσι παρεῖχεν, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις.

Id. ibid. p. 696. d.

Ἀποθανεῖν δὲ αὐτὸν [τὸν Καλλισθένη] οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα.

Curtius VIII. 29.

Callisthenes quoque tortus interiit, initi consilii in caput regis innoxius, sed haudquaquam aulae et assentantium accommodatus ingenio. Itaque nullius caedes maiorem apud Graecos Alexandro excitavit invidiam, quod praeditum optimis moribus artibusque, a quo revocatus ad vitam erat, cum interfecto Clito mori perseveraret, non tantum occiderit, sed etiam torserit indicta quidem causa. Quam crudelitatem sera poenitentia consecuta est.

Diodor. XIV. 117.

Καλλισθένης δ' ὁ ἱστοριογράφος τὴν τῶν Ἑλληνικῶν σύνταξιν ἀπὸ τῆς κατὰ τοῦτον τὸν ἐνιαυτὸν γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα τὴν ἱστορίαν ἦρκται γράφειν· διελθὼν δὲ τριακονταετῆ χρόνον ἔγραψε μὲν βίβλους δέκα, τὴν δὲ τελευ-

παίαν κατέπαυσε τῆς συντάξεως εἰς τὴν ὑπὸ τοῦ Φιλομήλου τοῦ Φωκέως κατάληψιν τοῦ ἐν Δελφοῖς ἱεροῦ.

Polyb. XII. 17.

Ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν καταξιοπιστεύεσθαι, μνησθησόμεθα μιᾶς παρατάξεως, ἣν ἅμα μὲν μίαν ἐπιφανεστάτην εἶναι συμβέβηκεν, ἅμα δὲ τοῖς καιροῖς οὐ μακρὰν ἀπηρτῆσθαι, τὸ δὲ μέγιστον, παρατετευχέναι τὸν Καλλισθένη κ. τ. λ.

Id. VI. 45.

. . . . . . οἱ λογιώτατοι τῶν ἀρχαίων συγγραφέων, Ἔφορος, Ξενοφῶν, Καλλισθένης, Πλάτων κ. τ. λ.

Id. XII. 23.

Κατὰ τοῦ Ἐφόρου Τίμαιος πλείστην πεποίηται καταδρομήν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος, τῷ μὲν ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις οἷς ἔνοχος αὐτός ἐστι, τῷ δὲ, διότι καθόλου διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐκτιθέμενος ἐν τοῖς ὑπομνήμασιν, καὶ τοιαύτας ἐντίκτων δόξας τοῖς ἐντυγχάνουσι. πλὴν εἰ τὸν Καλλισθένην θετέον εἰκότως κολασθέντα μεταλλάξαι τὸν βίον, τί χρὴ πάσχειν Τίμαιον; πολὺ γὰρ ἂν δικαιότερον τούτῳ νεμεσῆσαι τὸ δαιμόνιον ἢ Καλλισθένει.

§. 23.

Theophrastus Eresius.

Diogenes Laert. Vit. Theoph. L. V.

Θεόφραστος Ἐρέσιος, Μελάντα κναφέως υἱὸς, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ περιπατῶν· οὗτος πρότερον μὲν ἤκουσε Λευκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος, μετέστη πρὸς Ἀριστοτέλη. κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολὴν, Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ . . . . ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπο-

Plutarch. Alexand. p. 695. b.

Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον· φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχεν, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἔν δὲ τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις.

Id. ibid. p. 696. d.

Ἀποθανεῖν δὲ αὐτὸν [τὸν Καλλισθένη] οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα.

Curtius VIII, 29.

Callisthenes quoque tortus interiit, initi consilii in caput regis innoxius, sed haudquaquam aulae et assentantium accommodatus ingenio. Itaque nullius caedes maiorem apud Graecos Alexandro excitavit invidiam, quod praeditum optimis moribus artibusque, a quo revocatus ad vitam erat, cum interfecto Clito mori perseveraret, non tantum occiderit, sed etiam torserit indicta quidem causa. Quam crudelitatem sera poenitentia consecuta est.

Diodor. XIV. 117.

Καλλισθένης δ' ὁ ἱστοριογράφος τὴν τῶν Ἑλληνικῶν σύνταξιν ἀπὸ τῆς κατὰ τοῦτον τὸν ἐνιαυτὸν γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα τὴν ἱστορίαν ἦρκται γράφειν· διελθὼν δὲ τριακονταετῆ χρόνον ἔγραψε μὲν βίβλους δέκα, τὴν δὲ τελευ-

ταίαν κατέπαυσε τῆς συντάξεως εἰς τὴν ὑπὸ τοῦ Φιλομήλου τοῦ Φωκέως κατάληψιν τοῦ ἐν Δελφοῖς ἱεροῦ.

Polyb. XII. 17.

Ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν καταξιοπιστεύεσθαι, μνησθησόμεθα μιᾶς παρατάξεως, ἣν ἅμα μὲν μίαν ἐπιφανεστάτην εἶναι συμβέβηκεν, ἅμα δὲ τοῖς καιροῖς οὐ μακρὰν ἀπηρτῆσθαι, τὸ δὲ μέγιστον, παρατετευχέναι τὸν Καλλισθένη κ. τ. λ.

Id. VI. 45.

. . . . . . οἱ λογιώτατοι τῶν ἀρχαίων συγγραφέων, Ἔφορος, Ξενοφῶν, Καλλισθένης, Πλάτων κ. τ. λ.

Id. XII. 23.

Κατὰ τοῦ Ἐφόρου Τίμαιος πλείστην πεποίηται καταδρομήν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος, τῷ μὲν ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις οἷς ἔνοχος αὐτός ἐστι, τῷ δέ, διότι καθόλον διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐκτιθέμενος ἐν τοῖς ὑπομνήμασιν, καὶ τοιαύτας ἐντίκτων δόξας τοῖς ἐντυγχάνουσι. πλὴν εἰ τὸν Καλλισθένην θετέον εἰκότως κολασθέντα μεταλλάξαι τὸν βίον, τί χρὴ πάσχειν Τίμαιον; πολὺ γὰρ ἂν δικαιότερον τούτῳ νεμεσῆσαι τὸ δαιμόνιον ἢ Καλλισθένει.

§. 23.

Theophrastus Eresius.

Diogenes Laert. Vit. Theoph. L. V.

Θεόφραστος Ἐρέσιος, Μελάντα κναφέως υἱός, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ περιπατῶν· οὗτος πρότερον μὲν ἤκουσε Λευκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος, μετέστη πρὸς Ἀριστοτέλη. κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολήν, Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ . . . . ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπο-

νώτατος, καὶ, καθά φησι Παμφίλη ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν ὑπομνημάτων, διδάσκαλος Μενάνδρου τοῦ κωμικοῦ· ἄλλως τε καὶ εὐεργετικὸς καὶ φιλόλογος· Κάσανδρος γοῦν αὐτὸν ἀπεδέχετο, καὶ Πτολεμαῖος ἔπεμψεν ἐπ' αὐτόν· τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρὰ Ἀθηναίοις, ὥστε Ἀγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ καὶ προςῶφλεν. ἀπήντων δὲ εἰς τὴν διατρίβην αὐτοῦ μαθηταὶ πρὸς διςχιλίους . . . . . τοιοῦτος δὲ ὤν, ὅμως ἀπεδήμησε πρὸς ὀλίγον καὶ οὗτος, καὶ πάντες οἱ λοιποὶ φιλόσοφοι, Σοφοκλέους τοῦ Ἀμφικλείδου νόμον εἰςενεγκόντος, μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. ἀλλὰ αὖθις ἐπανῆλθον εἰς νέωτα, Φιλλίωνος τὸν Σοφοκλέα γραψαμένου παρανόμων, ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν Ἀθηναῖοι, τὸν δὲ Σοφοκλέα πέντε ταλάντοις ἐζημίωσαν, κάθοδόν τε τοῖς φιλοσόφοις ἐψηφίσαντο, ἵνα καὶ Θεόφραστος κατέλθῃ, καὶ ἐν τοῖς ὁμοίοις ᾖ. τοῦτον, Τύρταμον λεγόμενον, Θεόφραστον διὰ τὸ τῆς φράσεως θεσπέσιον Ἀριστοτέλης μετωνόμασεν.

§. 24.

Heraclides Ponticus.

Suidas s. v.

Ἡρακλείδης, Εὔφρονος, φιλόσοφος, Ἡρακλείας τῆς ἐν Πόντῳ, τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος. ἐκδημήσαντος δὲ Πλάτωνος εἰς Σικελίαν, προεστάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. οὗτος καὶ δράκοντα ἔθρεψε, καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα· ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη, τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνό-

μισαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.

Diogenes Laert. Vit. Heraclid. L. V. extr.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης, τοῦ Πόντου, ἀνὴρ πλούσιος· Ἀθήνῃσι δὲ παρέβαλε πρῶτον μὲν Σπευσίππῳ, ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε, καὶ τὰ Πλάτωνος ἐζηλώκει· καὶ ὕστερον ἤκουσεν Ἀριστοτέλους, ὥς φησι Σωτίων ἐν διαδοχαῖς. οὗτος ἐσθῆτι τε μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν, ἀλλὰ Πομπικὸν καλεῖσθαι, πρᾶός τε ἦν τὸ βάδισμα καὶ σεμνός. φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά τε καὶ ἄριστα. διάλογοι, ὧν κ. τ. λ.

Id. Ibid.

Ἔστι δ' αὐτῷ καὶ μεσότης τὶς ὁμιλητικὴ φιλοσόφων τε καὶ στρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν πρὸς ἀλλήλους διαλεγομένων. ἀλλὰ καὶ γεωμετρικά ἐστιν αὐτοῦ καὶ διαλεκτικά. ἄλλως τε ἐν ἅπασι ποικίλος τε καὶ διῃρημένος τὴν λέξιν ἐστὶ, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος. δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν ὁμωνύμοις, ὃς καὶ τοιόνδε ἱστορεῖ περὶ αὐτοῦ, θρέψαι αὐτὸν δράκοντα ἐκ νέου κ. τ. λ.

Id. ibid.

Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν ποιεῖν καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν· Χαμαιλέων τε τὰ παρ' ἑαυτῷ φησὶ κλέψαντα αὐτὸν τὰ περὶ Ἡσιόδου καὶ Ὁμήρου γράψαι· ἀλλὰ καὶ Ἀντόδωρος Ἐπικούρειος ἐπιτιμᾷ αὐτῷ.

Plutarch. Adv. Colot. p. 1126. b.

Πλάτων δὲ καὶ καλοὺς μὲν ἐν γράμμασι λόγους περὶ νόμων καὶ πολιτείας ἀπέλιπε, πολὺ δὲ κρείττονας ἐνεποίησε τοῖς ἑταίροις, ἀφ' ὧν Σικελία διὰ Δίωνος ἠλευθε-

ροῦτο, καὶ Θράκῃ διὰ Πύθωνος καὶ Ἡρακλείδου Κότυν ἀνελόντων.

Diogenes Laert. Vit. Emped. L. VIII.

Περὶ δὲ τοῦ θανάτου αὐτοῦ [τοῦ Ἐμπεδοκλέους] διάφορός ἐστιν ὁ λόγος· Ἡρακλείδης μὲν γὰρ . . . . . τούτοις δ' ἐναντιοῦται Τίμαιος, ῥητῶς λέγων ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον, καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. πρὸς δὲ τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίῤῥησιν ἐν τῇ τετάρτῃ.

Plutarch. Camill. p. 140. a.

Οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλασματίαν ὄντα τὸν Ἡρακλείδην ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τοὺς Ὑπερβορέους καὶ τὴν μεγάλην θάλατταν.

§. 25.

Aristoxenus Tarentinus.

Suidas s. v.

Ἀριστόξενος, υἱὸς Μνησίου, τοῦ καὶ Σπινθάρου, μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ, φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου· εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου, καὶ τέλος Ἀριστοτέλους· εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῦ Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων· ὡς εἶναι ἀπὸ τῆς ρια' Ὀλυμπιάδος, σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα, καὶ ἱστορίας, καὶ παντὸς εἴδους παιδείας, καὶ ἀριθμοῦ αὐτοῦ τὰ βιβλία εἰς υνγ'.

Athenaeus XIV. p. 648. d.

Τὰ δὲ ψευδεπιχάρμεια ταῦτα ὅτι πεποιήκασιν ἄνδρες ἔνδοξοι, Χρυσόγονός τε ὁ αὐλητής, ὥς φησιν Ἀριστόξενος ἐν ὀγδόῳ πολιτικῶν νόμων, τὴν Πολιτείαν ἐπιγραφομένην.

Diogenes Laert. Vit. Pythag. L. VIII.

Ἔλεγόν τε καὶ οἱ ἄλλοι Πυθαγόρειοι μὴ εἶναι πρὸς πάντας πάντα ῥητά, ὥς φησιν Ἀριστόξενος ἐν δεκάτῃ παιδευτικῶν νόμων.

Id. Vit. Democr. L. IX.

Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί φησι Πλάτωνα θελῆσαι συμπλέξαι τὰ Δημοκρίτου συγγράμματα, ὅποσα ἠδυνήθη οὖν συναγαγεῖν κ. τ. λ.

Athenaeus XIV. p. 619. e.

Ἐν δὲ τοῖς κατὰ βραχὺ ὑπομνήμασιν ὁ Ἀριστόξενος, Ἴφικλος, φησὶν κ. τ. λ.

Gellius IV. 11.

Sed Aristoxenus musicus, vir litterarum veterum diligentissimus, Aristoteli philosophi auditor, in libro, quem de Pythagora reliquit, nullo saepius legumento Pythagoram dicit usum quam fabis: quoniam is cibus et subduceret sensim alvum et laevigaret.

§. 26.

Dicaearchus Meseniüs.

Suidas s. v.

Δικαίαρχος, Φειδίου, Σικελιώτης ἐκ πόλεως Μεσήνης, Ἀριστοτέλους ἀκουστής, φιλόσοφος καὶ ῥήτωρ καὶ γεωμέτρης. Καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν· Ἑλλάδος βίον ἐν βιβλίοις γ'. οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν· καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι, καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν Ἐφόρων ἀρ-

χεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ.

Athenaeus IV. p. 141. a.

Περὶ δὲ τοῦ τῶν φειδιτίων δείπνου Δικαίαρχος τάδε ἱστορεῖ ἐν τῷ ἐπιγραφομένῳ Τριπολιτικῷ κ. τ. λ.

Id. XIII. p. 557. b.

Φίλιππος δὲ ὁ Μακεδὼν οὐκ ἐπήγετο μὲν εἰς τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθείς· ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας πεντήκοντα περιήγετο πάλλακας, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ περὶ τοῦ τῆς Ἑλλάδος βίου.

Varro de Re Rust. I. 2.

Et quidem licet adiicias, inquam, pastorum vitam esse incentivam, agricolarum succentivam, auctore doctissimo homine Dicaearcho, qui Graeciae vita qualis fuerit, ab initio nobis ita ostendit, ut superioribus temporibus fuisse doceat, quum homines pastoritiam vitam agerent, neque scirent etiam arare terram aut serere arbores aut putare, ab his inferiore gradu aetatis susceptam agriculturam.

Hieronymus Adv. Iovin. II. 13.

Dicaearchus in libris Antiquitatum et descriptione Graeciae refert, sub Saturno, id est in aureo seculo, quum omnia humus funderet, nullum comedisse carnes, sed universos vixisse frugibus et pomis, quae sponte terra gignebat.

Plinius H. N. II. 65.

Cui sententiae adest Dicaearchus, vir inprimis eruditus, regum cura permensus montes, ex quibus altissimum prodidit Pelion cet.

Strabo II. p. 104.

Πολύβιος δὲ, τὴν Εὐρώπην χωρογραφῶν, τοὺς μὲν ἀρχαίους ἐᾶν φησι, τοὺς δ' ἐκείνους ἐλέγχοντας ἐξετάζειν,

Δικαίαρχόν τε καὶ Ἐρατοσθένη, τὸν τελευταῖον πραγματευσάμενον περὶ τῆς γεωγραφίας, καὶ Πυθέαν, ὑφ' οὗ παρακρουσθῆναι πολλούς . . . . . . Ἐρατοσθένη δὲ τὸν μὲν Εὐήμερον Βεργαῖον καλεῖν, Πυθέᾳ δὲ πιστεύειν· καὶ ταῦτα δὲ, μήτε Δικαιάρχου πιστεύσαντος. τὸ μὲν οὖν μήτε Δικαιάρχου πιστεύσαντος γελοῖον· ὥσπερ ἐκείνῳ χρήσασθαι κανόνι προσῆκον, καθ' οὗ τοσούτους ἐλέγχους αὐτὸς προσφέρεται. Ἐρατοσθένους δὲ εἴρηται ἡ περὶ τὰ ἑσπέρια καὶ τὰ ἀρκτικὰ τῆς Εὐρώπης ἄγνοια. ἀλλ' ἐκείνῳ μὲν καὶ Δικαιάρχῳ συγγνώμη, τοῖς μὴ κατιδοῦσι τοὺς τόπους ἐκείνους, Πολυβίῳ δὲ καὶ Ποσειδωνίῳ τίς ἂν συγγνοίη; κ. τ. λ.

§. 27.

Clearchus Solensis.

Suidas s. v.

Κλέαρχος, Σολεὺς, ἔγραψε διάφορα. καὶ Κλέαρχος, ὁ Ποντικὸς, κ. τ. λ.

Ioseph. Cont. Ap. I. §. 22.

Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς, καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος, ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησὶν, Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτόν τε τὸν λόγον Ἀριστοτέλει παρατιθείς. κ. τ. λ.

Athenaeus XII. p. 548. b.

Περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν πέμπτῳ βίων οὕτω γράφει κ. τ. λ.

Phanias Eresius.

Suidas s. v.

Φανίας, ἢ Φαινίας, Ἐρέσιος, φιλόσοφος περιπατητικὸς, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ριά Ὀλυμπιάδος καὶ μετέπειτα ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

Athenaeus III. p. 90. e.

Σωληνισταὶ δ' ἐκαλοῦντο οἱ συνάγοντες τὰ ὄστρεα ταῦτα, ὡς ἱστορεῖ Φανίας ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ τυράννων ἀναίρεσις ἐκ τιμωρίας, γράφων οὕτως κ. τ. λ.

Id. VIII. p. 333. a.

Φανίας γοῦν ἐν δευτέρῳ πρυτανέων Ἐρεσίων ἐν Χεῤῥονήσῳ φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν ἰχθύας.

Id. VI. p. 232. c.

Ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ τυράννων κ. τ. λ.

Schol. Apoll. Rhod. I.

Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι.

Hecataeus Abderita.

Suidas s. v.

Ἑκαταῖος Ἀβδηρίτης, φιλόσοφος· ὃς ἐπεκλήθη κριτικὸς καὶ γραμματικὸς, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα· Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου.

Ioseph. Cont. Ap. I. §. 22.

Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας, καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρέργως ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων.

Origenes Cont. Celsum L. I.

Καὶ Ἑκαταίου τοῦ ἱστορικοῦ φέρεται περὶ Ἰουδαίων βιβλίον, ἐν ᾧ προςτίθεται μᾶλλόν πως ὡς σόφῳ τῷ ἔθνει ἐπὶ τοσοῦτον, ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα· δεύτερον δὲ λέγειν, ὅτι εἴπερ ἔστιν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ἀπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῷ τῷ λόγῳ.

Euseb. Praep. Evang. IX. p. 239. R. Steph.

Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, ἰδίαν βίβλον ἀναθεὶς τῇ περὶ Ἰουδαίων ἱστορίᾳ, πλεῖστα περὶ αὐτῶν διέξεισιν.

Diodor. I. 46.

Οὐ μόνον δ' οἱ κατ' Αἴγυπτον ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἱστοροῦσιν, ἀλλὰ καὶ πολλοὶ τῶν Ἑλλήνων τῶν παραβαλόντων μὲν εἰς τὰς Θήβας ἐπὶ Πτολεμαίου τοῦ Λάγου, συνταξαμένων δὲ τὰς Αἰγυπτιακὰς ἱστορίας, ὧν ἐστι καὶ Ἑκαταῖος, συμφωνοῦσι τοῖς ὑφ' ἡμῶν εἰρημένοις.

Clitarchus.

Diodor. II. 7.

. . . . ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν κ. τ. λ.

Athenaeus XII. p. 530. a.

Κλείταρχος δ' ἐν τῇ τετάρτῃ τῶν περὶ Ἀλέξανδρον γήρᾳ τελευτῆσαί φησι Σαρδανάπαλλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς.

Quintilian. X. 1.

Clitarchi probatur ingenium, fides infamatur.

Demetrius de Elocut. §. 330.

Τῇ δὲ ὀνομασίᾳ πολλάκις χαρίεντα πράγματα ὄντα, ἀτερπέστερα φαίνεται· καθάπερ ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος λέγων, ζώου μελίσσῃ ἐοικότος, κατανέμεται μὲν, φησὶ, τὴν ὀρεινὴν, εἰςίπταται δὲ εἰς κοίλας δρῦς.

Anaximenes Lampsacenus.

Suidas s. v.

Ἀναξιμένης, Ἀριστοκλέους, Λαμψακηνὸς, ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνὸς, καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου, τοῦ γραμματικοῦ τοῦ κακίζοντος Ὅμηρον· διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος· εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις. οὗτος βασιλέα Ἀλέξανδρον, θυμῷ χρώμενον εἰς Λαμψακηνοὺς, τεχνῇ περιῆλθε τοιᾷδε . . . . . . ἠμύνατο δὲ Θεόπομπον τὸν Δαμοστράτου, ἐχθρὸν ὄντα Ἀναξιμένους, οὐκ ἀμαθέστατα, ἀλλ' ἐπιφθονώτατα. σοφιστὴς γὰρ ὢν καὶ σοφιστῶν λόγους μιμούμενος, γράφει βιβλίον ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους, συγγραφὴν λοίδορον ἐς τὸ ἀκριβέστατον μιμησάμενος· καὶ ἐπιγράψας Θεοπόμπου τὸ ὄνομα, ἔπεμπεν ἐς τὰς πόλεις. καὶ ἐκ τούτου τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ηὔξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς.

Diodor. XV. 89.

Τῶν δὲ συγγραφέων Ξενοφῶν μὲν ὁ Ἀθηναῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν ἐπὶ τὴν Ἐπαμινώνδου τελευτήν. Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς τὴν πρώτην τῶν Ἑλληνικῶν ἀνέγραψεν, ἀρξάμενος ἀπὸ θεογονίας καὶ ἀπὸ τοῦ πρώτου γένους τῶν ἀνθρώπων, κατέστροφε δ' εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὴν Ἐπαμινώνδου τελευτήν· περιέλαβε δὲ πάσας σχεδὸν τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις ἐν βίβλοις δώδεκα.

Pausan. VI. 18.

Ἐνταῦθα καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνευρών, ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕστερον Ἀλέξανδρος εἰργάσατο, συνέγραψεν ὁμοίως ἅπαντα. ἡ δέ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου.

Diogenes Laert. Vit. Anaxim. L. II.

Γεγόνασι δὲ καὶ ἄλλοι δύο [Ἀναξιμένεις] Λαμψακηνοί· ῥήτωρ καὶ ἱστορικός, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ τὰς Ἀλεξάνδρου πράξεις γεγραφότος κ. τ. λ.

Strabo XIII. p. 589.

Ἐκ Λαμψάκου δὲ [ἦν] Χάρων τε ὁ συγγραφεὺς καὶ Ἀδείμαντος καὶ Ἀναξιμένης ὁ ῥήτωρ.

§. 28.

Scylax Caryandensis.

Suidas s. v.

Σκύλαξ Καρυανδεὺς (πόλις δέ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα) μαθηματικὸς καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς τοῦ Ἡρακλέους στηλῶν. Τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα. Γῆς περίοδον. Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

Hanno Carthaginiensis.

Plinius H. N. II. 67.

Et Hanno, Carthaginis potentia florente, circumvectus a Gadibus ad finem Arabiae, navigationem eam prodidit scripto, sicut ad extera Europae noscenda missus eodem tempore Himilco.

Id. V. 1.

Fuere et Hannonis Carthaginiensium ducis commentarii, Punicis rebus florentissimis explorare ambitum Africae iussi, quem secuti plerique e Graecis nostrisque et alia

μάλιστα εἰς ταῦτα ὅσα Πυθέας παρεκρούσατο τοὺς πιστεύσαντας αὐτῷ κατὰ ἄγνοιαν τῶν τε ἑσπερίων τόπων καὶ τῶν προςβόῤῥων, τῶν παρὰ τὸν ὠκεανόν.

Id. IV. p. 190.

Πρότερον δὲ Κορβίλων ὑπῆρχεν ἐμπορεῖον ἐπὶ τούτῳ τῷ ποταμῷ· περὶ ἧς εἴρηκε Πολύβιος, μνησθεὶς τῶν ὑπὸ Πυθέου μυθολογηθέντων ὅτι Μασσαλιωτῶν μὲν τῶν συμμιξάντων Σκηπίωνι οὐδεὶς εἶχε λέγειν οὐδὲν μνήμης ἄξιον, ἐρωτηθεὶς ὑπὸ τοῦ Σκηπίωνος ὑπὲρ τῆς Βρεττανικῆς, οὐδὲ τῶν ἐκ Ναρβῶνος, οὐδὲ τῶν ἐκ Κορβηλῶνος, αἵπερ ἦσαν ἄρισται πόλεις τῶν ταύτῃ· Πυθέας δ' ἐθάῤῥησε ψεύσασθαι τοσαῦτα.

§. 29.

Hieronymus Cardianus.

Suidas s. v.

Ἱερώνυμος Καρδιανός· ὃς τὰ ὑπ' Ἀλεξάνδρου πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

Plutarch. Eumen. p. 590. c.

Ἤδη δὲ τῆς πολιορκίας [τῆς τῶν Νώρων] χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασσάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμένη φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. διὸ πέμψας Ἱερώνυμον ἐσπένδετο τῷ Εὐμένει, προτείνας ὅρκον, ὃν ὁ Εὐμένης διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσιν, πότερος εἴη δικαιότερος.

Diodor. XIX. 44.

Ἀνήχθη δ' ἐν τοῖς τραυματίαις αἰχμάλωτος καὶ ὁ τὰς ἱστορίας συνταξάμενος Ἱερώνυμος ὁ Καρδιανός, ὃς

τὸν μὲν ἔμπροσθεν χρόνον ὑπ' Εὐμένους τιμώμενος διετέλεσε, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπ' Ἀντιγόνου ἐτύγχανε φιλανθρωπίας καὶ πίστεως.

Dionys. Hal. Antiq. Rom. I. 6. p. 16. seq. Reisk.

Πρῶτον μὲν, ὅσα κἀμὲ εἰδέναι, τὴν Ῥωμαϊκὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμου τοῦ Καρδιανοῦ συγγραφέως, ἐν τῇ περὶ τῶν Ἐπιγόνων πραγματείᾳ, κ. τ. λ.

Id. ibid. I. 7. p. 20.

Ἴσως γὰρ οἱ προανεγνωκότες Ἱερώνυμον ἢ Τίμαιον ἢ Πολύβιον, ἢ τῶν ἄλλων τινὰ συγγραφέων, ὑπὲρ ὧν ἐποιησάμην λόγον ὀλίγῳ πρότερον, ὡς ὑποσεσυρκότων τὴν γραφὴν, πολλὰ τῶν ὑπ' ἐμοῦ γραφομένων οὐχ εὑρηκότες παρ' ἐκείνοις κείμενα, σχεδιάζειν ὑπολήψονταί με, καὶ πόθεν εἰς ἐμὲ ἡ τούτων γνῶσις παραγέγονεν ἀξιώσουσι μαθεῖν.

Pausan. I. 9.

Ἱερώνυμος δὲ ἔγραψε Καρδιανὸς, Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα τὰ ὀστᾶ ἐκρίψαι. ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων, πλὴν Ἀντιγόνου, τούτῳ δὲ οὐ δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπὶ τοῖς τάφοις τῶν Ἠπειρωτῶν παντάπασίν ἐστι φανερὸς ἐπήρειαν συνθεὶς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν... τῷ δὲ Ἱερωνύμῳ τάχα μὲν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δὲ, ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμαχίαν ἀντ' αὐτῆς ᾤκισεν ἐπὶ τῷ Ἰσθμῷ τῆς Θρᾳκίας Χεῤῥονήσου.

Dionys. Hal. de Comp. Verb. p. 29. R.

Τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ [τοῦ συντιθέναι δεξιῶς τὰ ὀνόματα]· παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα καὶ τὰ μέλη καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι,

πλὴν ὀλίγων. χρόνῳ δ' ὕστερον παντάπασιν ἠμελήθη, καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω καὶ Δοῦριν καὶ Πολύβιον καὶ Ψάωνα καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλοχον καὶ Ἡρακλείδην καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν, ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὡς αἰδεῖσθαι καὶ λέγειν.

Demochares Atheniensis.

Pseudo-Plutarch. Vit. Dec. Orat. p. 847. c.

Εἶχε δὲ καὶ ἀδελφὴν [ὁ Δημοσθένης], ἐξ ἧς καὶ Λάχου Λευκωνέως ἀδελφιδοῦ αὐτῷ Δημοχάρης ἐγένετο, ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθὸς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν δεξιᾷ, ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος. οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐζήτει τοὺς ῥήτορας. χρόνῳ δὲ ὕστερον Ἀθηναῖοι σίτησίν τε ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν, καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ, ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους. κ. τ. λ.

Athenaeus VI. p. 252. seq.

Δημοχάρης γοῦν ὁ Δημοσθένους τοῦ ῥήτορος ἀνεψιὸς ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν διηγούμενος περὶ ἧς ἐποιοῦντο οἱ Ἀθηναῖοι κολακείας πρὸς τὸν Πολιορκητὴν Δημήτριον, καὶ ὅτι τοῦτ' οὐκ ἦν ἐκείνῳ βουλομένῳ, γράφει οὕτως κ. τ. λ.

Polyb. XII. 13.

Τίμαιός φησι, Δημοχάρην ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾷν, ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαίνιδος καὶ τῶν ἄλλων ἀναισχυντογράφων. ταύτην δὲ τὴν λοιδορίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνὴρ, ἀλλ' οὐδὲ τῶν ἐπὶ τέγους ἀπὸ τοῦ σώματος εἰργασμένων οὐδείς. ὁ δ', ἵνα πιστὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ὅλην ἀναισχυντίαν, καὶ προςκατέψευσται τἀνδρὸς, κωμικόν τινα μάρτυρα προςεπισπασάμενος ἀνώνυμον. πόθεν δ' ἐγὼ καταστοχάζομαι τοῦτο; πρῶτον μὲν ἐκ τοῦ πεφυκέναι καὶ τετράφθαι καλῶς Δημοχάρην, ἀδελφιδοῦν ὄντα Δημοσθένους· δεύτερον ἐκ τοῦ μὴ μόνον στρατηγίας αὐτὸν ἠξιῶσθαι παρ' Ἀθηναίοις, ἀλλὰ καὶ τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν ἂν αὐτῷ συνεξέδραμε τοιαύταις ἀτυχίαις παλαίοντι.

§. 30.

Demetrius Phalereus.

Suidas s. v.

Δημήτριος, Φανοστράτου, Φαληρεύς·· Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς· ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο, φιλόσοφος περιπατητικός. γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἀκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. συνέγραψε δὲ συχνὰ βιβλία. οὕτω δὲ ἦν σφόδρα εὐπρεπὴς, ὡς καὶ διαβολὴν λαβεῖν ὅτι γέγονεν ἐρώμενος νέος ὢν, καὶ προςαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας, ὑπὸ τοῦ φθονοῦ κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθεν, καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων, δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσιν.

Diogenes Laert. Vit. Demetr. L. V.

Πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν περιπατητικοὺς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὁντινοῦν. ὧν ἐστι τὰ μὲν ἱστορικὰ, τὰ δὲ πολιτικὰ, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικὰ, δημηγοριῶν τε καὶ πρεσβειῶν· ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαὶ, καὶ ἄλλα πλείω. ἔτι δὲ τὰ περὶ τῆς Ἀθήνησι νομοθεσίας, α', β', γ', δ', ε'. Περὶ τῶν Ἀθήνησι πολιτῶν, α', β'. Περὶ δημαγωγίας, α', β'. Περὶ πολιτικῆς, α', β'. Περὶ νόμων, α'. κ. τ. λ.

Lycus Rheginus.

Suidas s. v.

Λύκος, ὁ καὶ Βουθήρας, Ῥηγῖνος, ἱστορικὸς, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς, καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου Φαληρέως· οὗτος ἔγραψεν ἱστορίαν Λιβύης, καὶ περὶ Σικελίας.

Antigonus Carystius.

Euseb. Praep. Evang. XIV. p. 445. Steph.

Ἀντίγονος γὰρ ὁ Καρύστιος, κατὰ τοὺς αὐτοὺς γενόμενος χρόνους, καὶ ἀναγράψας αὐτῶν [τῶν περὶ Πύῤῥωνα] τὸν βίον, φησὶ τὸν Πύῤῥωνα διωκόμενον ὑπὸ κυνὸς ἀναφυγεῖν ἐπί τι δένδρον, σκωπτόμενον δ' ὑπὸ τῶν παρόντων εἰπεῖν, ὡς χαλεπὸν εἴη τὸν ἄνθρωπον ἐκδύναι.

§. 31.

Timaeus Siculus.

Suidas s. v.

Τίμαιος Ἀνδρομάχου, Ταυρομενίτης, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν· Φιλίσκου μαθητὴς τοῦ Μιλησίου. παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾷν, καὶ Γραο-

συλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν. ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ, ἐν βιβλίοις η'. Ἑλληνικὰ καὶ Σικελικά. Συλλογὴν ῥητορικῶν ἀφορμῶν, βιβλία ξη'. Ὀλυμπιονίκας ἢ χρονικὰ πραξίδια.

Diodor. Excerpt. De Virt. et Vit. XXI. p. 560.

Ὅτι οὗτος ἱστορικὸς [Τίμαιος], τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐλέγξας, κατὰ μὲν τἄλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας, ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. φυγαδευθεὶς γὰρ ὑπ'. Ἀγαθοκλέους ἐκ τῆς Σικελίας, ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε, τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα.

Athenaeus XI. p. 471. f.

Τίμαιος δ' ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν θηρικλείαν καλεῖ τὴν κύλικα, γράφων οὕτως· κ. τ. λ.

Dionys. Antiq. Rom. I. 6. p. 17. Reisk.

. . . . ἔπειτα Τιμαίου τοῦ Σικελιώτου, τὰ μὲν ἀρχαῖα τῶν ἱστοριῶν ἐν ταῖς κοιναῖς ἱστορίαις ἀφηγησαμένου, τοὺς δὲ πρὸς Πύῤῥον τὸν Ἠπειρώτην πολέμους εἰς ἰδίαν καταχωρίσαντος πραγματείαν.

Polyb. XII. 12.

Ὁ γὰρ τὰς συγκρίσεις ποιούμενος ἀνέκαθεν τῶν ἐφόρων πρὸς τοὺς βασιλεῖς τοὺς ἐν Λακεδαίμονι, καὶ τοὺς ἄρχοντας τοὺς Ἀθήνησι καὶ τὰς ἱερείας τὰς ἐν Ἄργει παραβάλλων πρὸς τοὺς Ὀλυμπιονίκας, καὶ τὰς ἁμαρτίας τῶν πόλεων περὶ τὰς ἀναγραφὰς τὰς τούτων ἐξελέγχων, παρὰ τρίμηνον ἐχούσας τὸ διαφέρον, οὗτός ἐστιν ὁ Τίμαιος.

Diodor. V. 1.

Τίμαιος μὲν οὖν μεγίστην προνοίαν πεποιημένος τῆς τῶν χρόνων ἀκριβείας, καὶ τῆς πολυπειρίας πεφροντικὼς,

Athenaeus III. p. 90. e.

Σωληνισταὶ δ' ἐκαλοῦντο οἱ συνάγοντες τὰ ὄστρεα ταῦτα, ὡς ἱστορεῖ Φανίας ὁ Ἐρέσιος ἐν τῷ ἐπιγραφομένῳ τυράννων ἀναίρεσις ἐκ τιμωρίας, γράφων οὕτως κ. τ. λ.

Id. VIII. p. 333. a.

Φανίας γοῦν ἐν δευτέρῳ πρυτανέων Ἐρεσίων ἐν Χεῤῥονήσῳ φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν ἰχθύας.

Id. VI. p. 232. c.

Ἱστορεῖ τὰ αὐτὰ καὶ Φανίας ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ τυράννων κ. τ. λ.

Schol. Apoll. Rhod. I.

Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι.

Hecataeus Abderita.

Suidas s. v.

Ἑκαταῖος Ἀβδηρίτης, φιλόσοφος· ὃς ἐπεκλήθη κριτικὸς καὶ γραμματικὸς, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα· Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου.

Ioseph. Cont. Ap. I. §. 22.

Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας, καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρέργως ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων.

Origenes Cont. Celsum L. I.

Καὶ Ἑκαταίου τοῦ ἱστορικοῦ φέρεται περὶ Ἰουδαίων βιβλίον, ἐν ᾧ προςτίθεται μᾶλλόν πως ὡς σόφῳ τῷ ἔθνει ἐπὶ τοσοῦτον, ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα· δεύτερον δὲ λέγειν, ὅτι εἴπερ ἔστιν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ἀπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῷ τῷ λόγῳ.

Euseb. Praep. Evang. IX. p. 239. R. Steph.

Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, ἰδίαν βίβλον ἀναθεὶς τῇ περὶ Ἰουδαίων ἱστορίᾳ, πλεῖστα περὶ αὐτῶν διέξεισιν.

Diodor. I. 46.

Οὐ μόνον δ' οἱ κατ' Αἴγυπτον ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἱστοροῦσιν, ἀλλὰ καὶ πολλοὶ τῶν Ἑλλήνων τῶν παραβαλόντων μὲν εἰς τὰς Θήβας ἐπὶ Πτολεμαίου τοῦ Λάγου, συνταξαμένων δὲ τὰς Αἰγυπτιακὰς ἱστορίας, ὧν ἐστι καὶ Ἑκαταῖος, συμφωνοῦσι τοῖς ὑφ' ἡμῶν εἰρημένοις.

Clitarchus.

Diodor. II. 7.

. . . . ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν κ. τ. λ.

Athenaeus XII. p. 530. a.

Κλείταρχος δ' ἐν τῇ τετάρτῃ τῶν περὶ Ἀλέξανδρον γήρᾳ τελευτῆσαί φησι Σαρδανάπαλλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς.

Quintilian. X. 1.

Clitarchi probatur ingenium, fides infamatur.

Demetrius de Elocut. §. 330.

Τῇ δὲ ὀνομασίᾳ πολλάκις χαρίεντα πράγματα ὄντα, ἀτερπέστερα φαίνεται· καθάπερ ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος λέγων, ζῶον μελίσσῃ ἐοικότος, κατανέμεται μὲν, φησὶ, τὴν ὀρεινὴν, εἰςίπταται δὲ εἰς κοίλας δρῦς.

Anaximenes Lampsacenus.

Suidas s. v.

Ἀναξιμένης, Ἀριστοκλέους, Λαμψακηνὸς, ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνὸς, καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου, τοῦ γραμματικοῦ τοῦ κακίζοντος Ὅμηρον· διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος· εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις. οὗτος βασιλέα Ἀλέξανδρον, θυμῷ χρώμενον εἰς Λαμψακηνοὺς, τεχνῇ περιῆλθε τοιᾷδε . . . . . ἠμύνατο δὲ Θεόπομπον τὸν Δαμοστράτου, ἐχθρὸν ὄντα Ἀναξιμένους, οὐκ ἀμαθέστατα, ἀλλ' ἐπιφθονώτατα. σοφιστὴς γὰρ ὢν καὶ σοφιστῶν λόγους μιμούμενος, γράφει βιβλίον ἐς Ἀθηναίους καὶ ἐπὶ Λακεδαιμονίους, συγγραφὴν λοίδορον ἐς τὸ ἀκριβέστατον μιμησάμενος· καὶ ἐπιγράψας Θεόπομπου τὸ ὄνομα, ἔπεμπεν ἐς τὰς πόλεις. καὶ ἐκ τούτου τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ηὔξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξιμένους πρότερός ἐστιν εὑρηκώς.

Diodor. XV. 89.

Τῶν δὲ συγγραφέων Ξενοφῶν μὲν ὁ Ἀθηναῖος τὴν τῶν Ἑλληνικῶν σύνταξιν εἰς τοῦτον τὸν ἐνιαυτὸν κατέστροφεν ἐπὶ τὴν Ἐπαμινώνδου τελευτήν. Ἀναξιμένης δὲ ὁ Λαμψακηνὸς τὴν πρώτην τῶν Ἑλληνικῶν ἀνέγραψεν, ἀρξάμενος ἀπὸ θεογονίας καὶ ἀπὸ τοῦ πρώτου γένους τῶν ἀνθρώπων, κατέστροφε δ' εἰς τὴν ἐν Μαντινείᾳ μάχην καὶ τὴν Ἐπαμινώνδου τελευτήν· περιέλαβε δὲ πάσας σχεδὸν τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις ἐν βίβλοις δώδεκα.

Pausan. VI. 18.

Ἐνταῦθα καὶ Ἀναξιμένους οἶδα εἰκόνα ἀνευρὼν, ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕστερον Ἀλέξανδρος εἰργάσατο, συνέγραψεν ὁμοίως ἅπαντα. ἡ δέ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου.

Diogenes Laert. Vit. Anaxim. L. II.

Γεγόνασι δὲ καὶ ἄλλοι δύο [Ἀναξιμένεις] Λαμψακηνοί· ῥήτωρ καὶ ἱστορικὸς, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ τὰς Ἀλεξάνδρου πράξεις γεγραφότος κ. τ. λ.

Strabo XIII. p. 589.

Ἐκ Λαμψάκου δὲ [ἦν] Χάρων τε ὁ συγγραφεὺς καὶ Ἀδείμαντος καὶ Ἀναξιμένης ὁ ῥήτωρ.

§. 28.

Scylax Caryandensis.

Suidas s. v.

Σκύλαξ Καρυανδεὺς (πόλις δέ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα) μαθηματικὸς καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς τοῦ Ἡρακλέους στηλῶν. Τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα. Γῆς περίοδον. Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

Hanno Carthaginiensis.

Plinius H. N. II. 67.

Et Hanno, Carthaginis potentia florente, circumvectus a Gadibus ad finem Arabiae, navigationem eam prodidit scripto, sicut ad extera Europae noscenda missus eodem tempore Himilco.

Id. V. 1.

Fuere et Hannonis Carthaginiensium ducis commentarii, Punicis rebus florentissimis explorare ambitum Africae iussi, quem secuti plerique e Graecis nostrisque et alia

quaedam fabulosa et urbes multas ab eo conditas ibi prodidere, quarum nec memoria ulla nec vestigium exstat.

Onesicritus. Nearchus. Megasthenes. Daïmachus.

Plutarch. Alexand. p. 701. c.

Πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας [ἐν τῇ Ἰνδίᾳ ὁ Ἀλέξανδρος] ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ κυνικῷ συνεσχολακότων.

Id. ibid. p. 702. a.

Καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δὲ Ὀνησίκριτον. αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος κ. τ. λ.

Strabo. II. p. 70.

Ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηΐμαχος· τὰ δὲ δεύτερα λέγει Μεγασθένης Ὀνησίκριτός τε καὶ Νέαρχος καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη· καὶ ἡμῖν δ' ὑπῆρξεν ἐπιπλέον κατιδεῖν ταῦτα, ὑπομνηματιζομένοις τὰς Ἀλεξάνδρου πράξεις. διαφερόντως δ' ἀπιστεῖν ἄξιον Δηϊμάχῳ τε καὶ Μεγασθένει. οὗτοι γάρ εἰσιν οἱ τοὺς ἐνωτοκοίτας καὶ τοὺς ἀστόμους καὶ ἄῤῥινας ἱστοροῦντες, μονοφθάλμους τε καὶ μακροσκελεῖς καὶ ὀπισθοδακτύλους· ἀνεκαίνισαν δὲ καὶ τὴν Ὁμηρικὴν τῶν Πυγμαίων γερανομαχίαν τρισπιθάμους εἰπόντες. οὗτοι δὲ καὶ χρυσωρύχους μύρμηκας καὶ Πᾶνας σφηνοκεφάλους, ὄφεις τε καὶ βοῦς καὶ ἐλάφους σὺν κέρασι καταπίνοντας· περὶ ὧν ἕτερος τὸν ἕτερον ἐλέγχει, ὅπερ καὶ Ἐρατοσθένης φησίν. ἐπέμφθησαν μὲν γὰρ εἰς τὰ Παλίμβοθρα, ὁ μὲν Μεγασθένης πρὸς Ἀνδρόκοττον, ὁ δὲ Δηΐμαχος πρὸς

τῶν Ἀθήνησιν ἀγώνων βιβλία ιζ΄. Περὶ τῶν Ἀθήνησιν ἀρξάντων, ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου. Ὀλυμπιάδας ἐν βιβλίοις β΄. Πρὸς τὴν Δήμωνος Ἀτθίδα. Ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος. Ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν. Περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε΄. Περὶ Εὐριπίδου. Περὶ Ἀλκμᾶνος. Περὶ μυστηρίων τῶν Ἀθήνησι. Συναγωγὴν ἡρωΐδων, ἤτοι Πυθαγορείων γυναικῶν. Δηλιακὰ βιβλία β΄. Περὶ εὑρημάτων. Περὶ καθαρμῶν. Περὶ συμβόλων.

Polemo Periegeta.

Suidas s. v.

Πολέμων, Εὐηγέτου, Ἰλιεὺς, κώμης Γλυκείας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς· διὸ ἐπεγράφετο Ἑλλαδικός· ὁ κληθεὶς Περιηγητὴς, ἱστορικός. γέγονε κατὰ τὸν Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε Περιήγησιν Ἰλίου, ἐν βιβλίοις γ΄. Κτίσεις τῶν ἐν Φωκίδι πόλεων, καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν. Κτίσεις τῶν ἐν Πόντῳ πόλεων. Περὶ τῶν ἐν Λακεδαίμονι πόλεων. καὶ ἄλλα πλεῖστα· ἐν οἷς καὶ Κοσμικὴν Περιήγησιν, ἤτοι γεωγραφίαν.

Athenaeus VI. p. 234. d.

Πολέμων γοῦν — ὁ εἴτε Σάμιος ἢ Σικυώνιος εἴτ' Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει καθαριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων πόλεων· ἐπεκαλεῖτο δὲ καὶ στηλοκόπας, ὡς Ἡρόδικος ὁ Κρατήτειος εἴρηκε — γράψας περὶ παρασίτων φησὶν οὕτως. κ. τ. λ.

Id. X. p. 436. c.

. . . . . . ὡς τὸ ἐπίγραμμα δηλοῖ, ὅπερ ἀνέγραψε Πολέμων ἐν τῷ περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων.

μάλιστα εἰς ταῦτα ὅσα Πυθέας παρεκρούσατο τοὺς πιστεύσαντας αὐτῷ κατὰ ἄγνοιαν τῶν τε ἑσπερίων τόπων καὶ τῶν προςβόῤῥων, τῶν παρὰ τὸν ὠκεανόν.

Id. IV. p. 190.

Πρότερον δὲ Κορβίλων ὑπῆρχεν ἐμπορεῖον ἐπὶ τούτῳ τῷ ποταμῷ· περὶ ἧς εἴρηκε Πολύβιος, μνησθεὶς τῶν ὑπὸ Πυθέου μυθολογηθέντων ὅτι Μασσαλιωτῶν μὲν τῶν συμμιξάντων Σκηπίωνι οὐδεὶς εἶχε λέγειν οὐδὲν μνήμης ἄξιον, ἐρωτηθεὶς ὑπὸ τοῦ Σκηπίωνος ὑπὲρ τῆς Βρετταγικῆς, οὐδὲ τῶν ἐκ Ναρβῶνος, οὐδὲ τῶν ἐκ Κορβηλῶνος, αἵπερ ἦσαν ἄρισται πόλεις τῶν ταύτῃ· Πυθέας δ' ἐθάῤῥησε ψεύσασθαι τοσαῦτα.

§. 29.

Hieronymus Cardianus.

Suidas s. v.

Ἱερώνυμος Καρδιανός· ὃς τὰ ὑπ' Ἀλεξάνδρου πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

Plutarch. Eumen. p. 590. c.

Ἤδη δὲ τῆς πολιορκίας [τῆς τῶν Νώρων] χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασσάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμένη φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. διὸ πέμψας Ἱερώνυμον ἐσπένδετο τῷ Εὐμένει, προτείνας ὅρκον, ὃν ὁ Εὐμένης διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσιν, πότερος εἴη δικαιότερος.

Diodor. XIX. 44.

Ἀνήχθη δ' ἐν τοῖς τραυματίαις αἰχμάλωτος καὶ ὁ τὰς ἱστορίας συνταξάμενος Ἱερώνυμος ὁ Καρδιανός, ὃς

τὸν μὲν ἔμπροσθεν χρόνον ὑπ' Εὐμένους τιμώμενος διετέλεσε, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπ' Ἀντιγόνου ἐτύγχανε φιλανθρωπίας καὶ πίστεως.

Dionys. Hal. Antiq. Rom. I. 6. p. 16. seq. Reisk.

Πρῶτον μὲν, ὅσα κἀμὲ εἰδέναι, τὴν Ῥωμαϊκὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμου τοῦ Καρδιανοῦ συγγραφέως, ἐν τῇ περὶ τῶν Ἐπιγόνων πραγματείᾳ, κ. τ. λ.

Id. ibid. I. 7. p. 20.

Ἴσως γὰρ οἱ προανεγνωκότες Ἱερώνυμον ἢ Τίμαιον ἢ Πολύβιον, ἢ τῶν ἄλλων τινὰ συγγραφέων, ὑπὲρ ὧν ἐποιησάμην λόγον ὀλίγῳ πρότερον, ὡς ὑποσεσυρκότων τὴν γραφὴν, πολλὰ τῶν ὑπ' ἐμοῦ γραφομένων οὐχ εὑρηκότες παρ' ἐκείνοις κείμενα, σχεδιάζειν ὑπολήψονταί με, καὶ πόθεν εἰς ἐμὲ ἡ τούτων γνῶσις παραγέγονεν ἀξιώσουσι μαθεῖν.

Pausan. I. 9.

Ἱερώνυμος δὲ ἔγραψε Καρδιανὸς, Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα τὰ ὀστᾶ ἐκρίψαι. ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων, πλὴν Ἀντιγόνου, τούτῳ δὲ οὐ δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπὶ τοῖς τάφοις τῶν Ἠπειρωτῶν παντάπασίν ἐστι φανερὸς ἐπήρειαν συνθεὶς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν... τῷ δὲ Ἱερωνύμῳ τάχα μὲν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δὲ, ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμαχίαν ἀντ' αὐτῆς ᾤκισεν ἐπὶ τῷ Ἰσθμῷ τῆς Θρᾳκίας Χεῤῥονήσου.

Dionys. Hal. de Comp. Verb. p. 29. R.

Τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ [τοῦ συντιθέναι δεξιῶς τὰ ὀνόματα]· παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα καὶ τὰ μέλη καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι,

πλὴν ὀλίγων. χρόνῳ δ' ὕστερον παντάπασιν ἠμελήθη, καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω καὶ Δοῦριν καὶ Πολύβιον καὶ Ψάωνα καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλοχον καὶ Ἡρακλείδην καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν, ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὡς αἰδεῖσθαι καὶ λέγειν.

Demochares Atheniensis.

Pseudo-Plutarch. Vit. Dec. Orat. p. 847. c.

Εἶχε δὲ καὶ ἀδελφὴν [ὁ Δημοσθένης], ἐξ ἧς καὶ Λάχου Λευκωνέως ἀδελφιδοῦ αὐτῷ Δημοχάρης ἐγένετο, ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθὸς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ εἰςιόντων πρὸς τὴν ἑστίαν δεξιᾷ, ὁ πρῶτος περιεζωσμένος ἅμα τῷ ἱματίῳ καὶ ξίφος. οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐζήτει τοὺς ῥήτορας. χρόνῳ δὲ ὕστερον Ἀθηναῖοι σίτησίν τε ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν, καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ, ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους. κ. τ. λ.

Athenaeus VI. p. 252. seq.

Δημοχάρης γοῦν ὁ Δημοσθένους τοῦ ῥήτορος ἀνεψιὸς ἐν τῇ εἰκοστῇ τῶν ἱστοριῶν διηγούμενος περὶ ἧς ἐποιοῦντο οἱ Ἀθηναῖοι κολακείας πρὸς τὸν Πολιορκητὴν Δημήτριον, καὶ ὅτι τοῦτ' οὐκ ἦν ἐκείνῳ βουλομένῳ, γράφει οὕτως κ. τ. λ.

Polyb. XII. 13.

Τίμαιός φησι, Δημοχάρην ἡταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν, ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαίνιδος καὶ τῶν ἄλλων ἀναισχυντογράφων. ταύτην δὲ τὴν λοιδορίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνὴρ, ἀλλ' οὐδὲ τῶν ἐπὶ τέγους ἀπὸ τοῦ σώματος εἰργασμένων οὐδείς. ὁ δ', ἵνα πιστὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ὅλην ἀναισχυντίαν, καὶ προςκατέψευσται τἀνδρὸς, κωμικόν τινα μάρτυρα προςεπισπασάμενος ἀνώνυμον. πόθεν δ' ἐγὼ καταστοχάζομαι τοῦτο; πρῶτον μὲν ἐκ τοῦ πεφυκέναι καὶ τετράφθαι καλῶς Δημοχάρην, ἀδελφιδοῦν ὄντα Δημοσθένους· δεύτερον ἐκ τοῦ μὴ μόνον στρατηγίας αὐτὸν ἠξιῶσθαι παρ' Ἀθηναίοις, ἀλλὰ καὶ τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν ἂν αὐτῷ συνεξέδραμε τοιαύταις ἀτυχίαις παλαίοντι.

§. 30.

Demetrius Phalereus.

Suidas s. v.

Δημήτριος, Φανοστράτου, Φαληρεύς·· Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς· ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο, φιλόσοφος περιπατητικός. γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἀκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. συνέγραψε δὲ συχνὰ βιβλία. οὕτω δὲ ἦν σφόδρα εὐπρεπὴς, ὡς καὶ διαβολὴν λαβεῖν ὅτι γέγονεν ἐρώμενος νέος ὢν, καὶ προςαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας, ὑπὸ τοῦ φθονοῦ κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθεν, καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων, δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσιν.

Diogenes Laert. Vit. Demetr. L. V.

Πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν περιπατητικοὺς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὁντινοῦν. ὧν ἐστι τὰ μὲν ἱστορικὰ, τὰ δὲ πολιτικὰ, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικὰ, δημηγοριῶν τε καὶ πρεσβειῶν· ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαὶ, καὶ ἄλλα πλείω. ἔτι δὲ τὰ περὶ τῆς Ἀθήνησι νομοθεσίας, α', β', γ', δ', ε'. Περὶ τῶν Ἀθήνησι πολιτῶν, α', β'. Περὶ δημαγωγίας, α', β'. Περὶ πολιτικῆς, α', β'. Περὶ νόμων, α'. κ. τ. λ.

Lycus Rheginus.

Suidas s. v.

Λύκος, ὁ καὶ Βουθήρας, Ῥηγῖνος, ἱστορικὸς, πατὴρ Λυκόφρονος τοῦ τραγικοῦ, ἐπὶ τῶν διαδόχων γεγονὼς, καὶ ἐπιβουλευθεὶς ὑπὸ Δημητρίου Φαληρέως· οὗτος ἔγραψεν ἱστορίαν Λιβύης, καὶ περὶ Σικελίας.

Antigonus Carystius.

Euseb. Praep. Evang. XIV. p. 445. Steph.

Ἀντίγονος γὰρ ὁ Καρύστιος, κατὰ τοὺς αὐτοὺς γενόμενος χρόνους, καὶ ἀναγράψας αὐτῶν [τῶν περὶ Πύῤῥωνα] τὸν βίον, φησὶ τὸν Πύῤῥωνα διωκόμενον ὑπὸ κυνὸς ἀναφυγεῖν ἐπί τι δένδρον, σκωπτόμενον δ' ὑπὸ τῶν παρόντων εἰπεῖν, ὡς χαλεπὸν εἴη τὸν ἄνθρωπον ἐκδύναι.

§. 31.

Timaeus Siculus.

Suidas s. v.

Τίμαιος Ἀνδρομάχου, Ταυρομενίτης, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν· Φιλίσκου μαθητὴς τοῦ Μιλησίου. παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾶν, καὶ Γραο-

συλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν. ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ, ἐν βιβλίοις η'. Ἑλληνικὰ καὶ Σικελικά. Συλλογὴν ῥητορικῶν ἀφορμῶν, βιβλία ξη'. Ὀλυμπιονίκας ἢ χρονικὰ πραξίδια.

Diodor. Excerpt. De Virt. et Vit. XXI. p. 560.

Ὅτι οὗτος ἱστορικὸς [Τίμαιος], τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐλέγξας, κατὰ μὲν τἆλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας, ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. φυγαδευθεὶς γὰρ ὑπ'. Ἀγαθοκλέους ἐκ τῆς Σικελίας, ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε, τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα.

Athenaeus XI. p. 471. f.

Τίμαιος δ' ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν θηρικλείαν καλεῖ τὴν κύλικα, γράφων οὕτως· κ. τ. λ.

Dionys. Antiq. Rom. I. 6. p. 17. Reisk.

. . . . ἔπειτα Τιμαίου τοῦ Σικελιώτου, τὰ μὲν ἀρχαῖα τῶν ἱστοριῶν ἐν ταῖς κοιναῖς ἱστορίαις ἀφηγησαμένου, τοὺς δὲ πρὸς Πύῤῥον τὸν Ἠπειρώτην πολέμους εἰς ἰδίαν καταχωρίσαντος πραγματείαν.

Polyb. XII. 12.

Ὁ γὰρ τὰς συγκρίσεις ποιούμενος ἀνέκαθεν τῶν ἐφόρων πρὸς τοὺς βασιλεῖς τοὺς ἐν Λακεδαίμονι, καὶ τοὺς ἄρχοντας τοὺς Ἀθήνησι καὶ τὰς ἱερείας τὰς ἐν Ἄργει παραβάλλων πρὸς τοὺς Ὀλυμπιονίκας, καὶ τὰς ἁμαρτίας τῶν πόλεων περὶ τὰς ἀναγραφὰς τὰς τούτων ἐξελέγχων, παρὰ τρίμηνον ἐχούσας τὸ διαφέρον, οὗτός ἐστιν ὁ Τίμαιος.

Diodor. V. 1.

Τίμαιος μὲν οὖν μεγίστην πρόνοιαν πεποιημένος τῆς τῶν χρόνων ἀκριβείας, καὶ τῆς πολυπειρίας πεφροντικὼς,

διὰ τὰς ἀκαίρους καὶ μακρὰς ἐπιτιμήσεις εὐλόγως διαβάλλεται, καὶ διὰ τὴν ὑπερβολὴν τῆς ἐπιτιμήσεως Ἐπιτίμαιος ὑπό τινων ὠνομάσθη.

Polyb. XII. 8.

Πολλὰ ἱστορεῖ ψευδῆ ὁ Τίμαιος, καὶ δοκεῖ τὸ παράπαν οὐκ ἄπειρος ὢν οὐδενὸς τῶν τοιούτων· ὑπὸ δὲ τῆς φιλονεικίας ἐπισκοτούμενος, ὅταν ἅπαξ ἢ ψέγειν ἢ τοὐναντίον ἐγκωμιάζειν τινὰ προθῆται, πάντων ἐπιλανθάνεται, καὶ πολύ τι τοῦ καθήκοντος παρεκβαίνει.

Id. XII. 15.

Καὶ γὰρ οὐδὲ ταῖς [τοῦ Τιμαίου] κατ' Ἀγαθοκλέους ἔγωγε λοιδορίαις, εἰ καὶ πάντων γέγονεν ἀσεβέστατος, εὐδοκῶ.

Id. XII. 23.

Ἐκεῖνος μὲν οὖν [ὁ Καλλισθένης] ἀποθεοῦν Ἀλέξανδρον οὐκ ἐβουλήθη, Τίμαιος δὲ μείζω ποιεῖ Τιμολέοντα τῶν ἐπιφανεστάτων θεῶν.

Strabo. XIV. p. 640.

. . . . . ἀγνοοῦντά φησιν ὁ Ἀρτεμίδωρος τὸν Ταυρομενίτην Τίμαιον, καὶ ἄλλως βάσκανον ὄντα καὶ συκοφάντην (διὸ καὶ Ἐπιτίμαιον κληθῆναι), λέγειν κ. τ. λ.

Polyb. XII. 3.

Τὸν δὲ Τίμαιον εἴποι τις ἂν οὐ μόνον ἀνιστόρητον γεγονέναι περὶ τῶν κατὰ τὴν Λιβύην, ἀλλὰ καὶ παιδαριώδη καὶ τελέως ἀσυλλόγιστον καὶ ταῖς ἀρχαίαις φήμαις ἀκμὴν ἐνδεδεμένον, ἃς παρειλήφαμεν, ὡς ἀμμώδους πάσης καὶ ξηρᾶς καὶ ἀκάρπου ὑπαρχούσης τῆς Λιβύης.

Id. XII. 27.

Δυοῖν γὰρ ὄντων κατὰ φύσιν ὡςανεὶ τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ' οὔσης οὐ μικρῷ τῆς

ὁράσεως κατὰ τὸν Ἡράκλειτον (ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες)· τούτων Τίμαιος τὴν ἡδίω μὲν, ἥττω δὲ, τῶν ὁδῶν ὥρμησε πρὸς τὸ πολυπραγμονεῖν. τῶν μὲν γὰρ διὰ τῆς ὁράσεως εἰς τέλος ἀπέστη, τῶν δὲ διὰ τῆς ἀκοῆς ἀντεποιήσατο.

Id. XII. 24.

Οὐ διαπορεῖν ἐστι περὶ τῆς αἱρέσεως Τιμαίου· φησὶ γὰρ, τοὺς ποιητὰς καὶ συγγραφέας διὰ τῶν ὑπεράνω πλεονασμῶν ἐν τοῖς ὑπομνήμασι διαφαίνειν τὰς ἑαυτῶν φύσεις . . . . . . οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις πολλὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν, ἐν δὲ ταῖς ἰδίαις ἀποφάσεσιν ἐνυπνίων καὶ τεράτων καὶ μύθων ἀπιθάνων καὶ συλλήβδην δεισιδαιμονίας ἀγεννοῦς καὶ τερατείας γυναικώδους ἐστὶ πλήρης.

Dionys. De Dinarch. Iud. T. V. p. 645. R.

Οἱ δ' Ἰσοκράτην καὶ τὰ Ἰσοκράτους ἀποτυπώσασθαι θελήσαντες ὕπτιοι καὶ ψυχροὶ καὶ ἀσύστροφοι καὶ ἀναλθεῖς. οὗτοι δ' εἰσὶν οἱ περὶ Τίμαιον καὶ Ψάωνα καὶ Σωσιγένην.

Longin de Sublim.

Θατέρου δὲ ὧν εἴπομεν, λέγω δὲ τοῦ ψυχροῦ, πλήρης ὁ Τίμαιος, ἀνὴρ τὰ μὲν ἄλλα ἱκανὸς καὶ πρὸς λόγων ἐνίοτε μέγεθος οὐκ ἄφορος, πολυΐστωρ, ἐπινοητικὸς, πλὴν ἀλλοτρίων μὲν ἐλεγκτικώτατος ἁμαρτημάτων, ἀνεπαίσθητος δὲ ἰδίων· ὑπὸ δ' ἔρωτος τοῦ ξένας νοήσεις ἀεὶ κινεῖν πολλάκις ἐκπίπτων εἰς τὸ παιδαριωδέστατον.

§. 32.

Berosus Chaldaeus.

Euseb. Praep. Evang. X. p. 289. Steph.

Βηρωσσὸς ἀνὴρ Βαβυλώνιος, ἱερεὺς τοῦ παρ' αὐτοῖς Βήλου, κατ' Ἀλέξανδρον γενόμενος, Ἀντιόχῳ τῷ μετὰ

Σέλευκον τρίτῳ τὴν Χαλδαίων ἱστορίαν ἐν τρισὶ βιβλίοις κατατάξας, καὶ τὰ περὶ βασιλέων ἐκτιθέμενος, ἀφηγεῖταί τινος αὐτῶν, ὄνομα Ναβουχοδονόσορ.

Plin. H. N. VII. 37.

Variarum artium scientia innumerabiles enituere . . . . astrologia Berosus, cui ob divinas praedictiones Athenienses publice in gymnasio statuam inaurata lingua statuere.

Manethos Sebennyta.

Suidas s. v.

Μανεθὼς, Διοσπόλεως τῆς Αἰγύπτου, ἢ Σεβεννύτης. Φυσιολογικά. Ἀποτελεσματικὰ δι' ἐπῶν· καὶ ἄλλα τινὰ ἀστρονομούμενα.

Euseb. Praep. Evang. I.

Πᾶσαν μὲν οὖν τὴν Αἰγυπτιακὴν ἱστορίαν εἰς πλάτος τῆς Ἑλλήνων μετείληφε φωνῆς, ἰδίως τε τὰ περὶ τῆς κατ' αὐτοὺς θεολογίας Μανεθὼς ὁ Αἰγύπτιος, ἔν τε ᾗ ἔγραψεν ἱερᾷ βίβλῳ, καὶ ἐν ἑτέροις αὐτοῦ συγγράμμασι.

Id. Chronic. ad Olymp. 107, 1.

Ἐκ τῶν Μανεθῶ τοῦ Σεβεννύτου, ὃς ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου ἀρχιερεὺς τῶν ἐν Αἰγύπτῳ εἰδώλων, χρηματίσας ἐκ τῶν ἐν τῇ Σηριαδικῇ γῇ κειμένων στηλῶν, ἱερᾷ, φησὶ, διαλέκτῳ καὶ ἱερογραφικοῖς γράμμασι κεχαρακτηρισμένων ὑπὸ Θωῦθ τοῦ πρώτου Ἑρμοῦ, καὶ ἑρμηνευθεισῶν μετὰ τὸν κατακλυσμὸν ἐκ τῆς ἱερᾶς διαλέκτου εἰς τὴν Ἑλληνίδα φωνὴν γράμμασιν ἱερογλυφικοῖς καὶ ἀποτεθεισῶν ἐν βίβλοις ὑπὸ τοῦ Ἀγαθοδαίμονος τοῦ δευτέρου Ἑρμοῦ, πατρὸς δὲ τοῦ Τὰτ, ἐν τοῖς ἀδύτοις τῶν ἱερῶν Αἰγυπτίων. ἃ προςεφώνησε τῷ αὐτῷ βασιλεῖ, δευτέρῳ Πτολεμαίῳ, ἐν τῇ βίβλῳ τῆς Σώθεως γράφων οὕτως· Μανεθὼς ἀρχιερεὺς καὶ γραμματεὺς τῶν κατ' Αἴγυπτον ἱερῶν ἀδύτων, γένει Σεβεννύτης ὑπάρχων, Ἡλιουπολίτης, τῷ δεσπότῃ μου Πτολεμαίῳ χαίρειν. κ. τ. λ.

Ioseph. Cont. Ap. I. §. 14.

Μανεθὼν δὲ ἦν τὸ γένος ἀνὴρ Αἰγύπτιος, τῆς Ἑλληνικῆς μετεσχηκὼς παιδείας, ὡς δῆλός ἐστι· γέγραφε γὰρ Ἑλλάδι φωνῇ τὴν πάτριον ἱστορίαν, ἔκ τε τῶν ἱερῶν, ὥς φησιν αὐτὸς, μεταφράσας, καὶ πολλὰ τὸν Ἡρόδοτον ἐλέγχει τῶν Αἰγυπτιακῶν ὑπ' ἀγνοίας ἐψευσμένων.

§. 33.

Duris Samius.

Athenaeus XII. p. 541. f.

Δοῦρις δ' ἐν τῇ δεκάτῃ τῶν περὶ Ἀγαθοκλέα [φησὶ], καὶ πλησίον Ἱππωνίου πόλεως ἄλσος τι δείκνυσθαι κάλλει διάφορον καὶ κατάῤῥυτον ὕδασιν, κ. τ. λ.

Schol. ad Aristoph. Nub. v. 397.

Δοῦρις δὲ ἐν τῷ πεντεκαιδεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται.

Diodor. XV. 60.

Δοῦρις δ' ὁ Σάμιος ὁ ἱστοριογράφος τῆς τῶν Ἑλληνικῶν ἱστορίας ἐντεῦθεν [ἀπὸ τῆς τοῦ Ἀμύντου τοῦ τῶν Μακεδόνων βασιλέως τελευτῆς] ἐποιήσατο τὴν ἀρχήν.

Athenaeus XII. p. 546. c.

Καὶ Δοῦρις δέ φησιν ἐν τῇ εἰκοστῇ τρίτῃ τῶν ἱστοριῶν ὡς ἦν τὸ παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία τῆς μέθης.

Hermippus Smyrnaeus.

Suidas s. v.

Ἕρμιππος Βηρύτιος, ἀπὸ κώμης μεσογαίου, μαθητὴς Φίλωνος τοῦ Βυβλίου, ὑφ' οὗ ᾠκειώθη Ἑρεννίῳ Σευήρῳ ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ἔκδουλος ὢν γένος, λόγιος σφόδρα, καὶ ἔγραψε πολλά.

Athenaeus V. p. 213. f.

. . . . . καθάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν καὶ Ἕρμιππος ὁ Καλλιμάχειος.

Ioseph. Cont. Ap. I. §. 22.

Αὐτοῦ μὲν οὖν [τοῦ Πυθαγόρου] οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός ἐστιν Ἕρμιππος, ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ Πυθαγόρου βιβλίων κ. τ. λ.

Aratus Sicyonius.

Anonymus Vit. Arati.

Καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι, ἄνδρες ἐλλόγιμοι ἱστοριογράφοι· ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα. καὶ τρίτος Σικυώνιος, οὗ ἔστιν ἡ πολύβιβλος ἱστορία ὑπὲρ τὰ λ' βιβλία ἔχουσα.

Polyb. II. 40.

Τῶν μέντοι γε Ἀράτῳ διῳκημένων καὶ νῦν καὶ μετὰ ταῦτα πάλιν ἐπικεφαλαιούμενοι μνησθησόμεθα, διὰ τὸ καὶ λίαν ἀληθινοὺς καὶ σαφεῖς ἐκεῖνον περὶ τῶν ἰδίων συντεταχέναι πράξεων ὑπομνηματισμούς.

Eratosthenes Cyrenaeus.

Suidas s. v.

Ἐρατοσθένης, Ἀγλαοῦ (οἱ δὲ, Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου, καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου, καὶ διέτριψε μέχρι τοῦ πέμπτου. διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσασι Βῆτα ἐπεκλήθη· οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα· ἄλλοι Πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκς' Ὀλυμπιάδι, καὶ ἐτελεύτησεν π' ἐτῶν γεγονὼς, ἀποσχόμενες τροφῆς διὰ τὸ

ἀμβλώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον· οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας. Ἀστρονομίαν ἢ Καταστερισμούς. Περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων. Περὶ ἀλυπίας. Διαλόγους πολλοὺς, καὶ γραμματικὰ συχνά.

Strabo IX. p. 421.

Ἐμελοποίησε μὲν οὖν Τιμοσθένης ὁ ναύαρχος τοῦ δευτέρου Πτολεμαίου, ὁ καὶ τοὺς λιμένας συντάξας ἐν δέκα βίβλοις.

Phylarchus Atheniensis.

Suidas s. v.

Φύλαρχος Ἀθηναῖος, ἢ Ναυκρατίτης (οἱ δὲ Σικυώνιον, ἄλλοι δὲ Αἰγύπτιον ἔγραψαν) ἱστορικός. Τὴν ἐπὶ Πελοπόννησον Πύῤῥου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κή. κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου. Τὰ κατὰ τὸν Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη. Ἐπιτομὴν Μυθικήν. Περὶ τῆς τοῦ Διὸς ἐπιφανείας. Περὶ εὑρημάτων. Παρεμβάσεων βιβλία θ'.

Polyb. II. 56.

Ἐπεὶ δὲ τῶν κατὰ τοὺς αὐτοὺς καιροὺς Ἀράτῳ γεγραφότων παρ' ἐνίοις ἀποδοχῆς ἀξιοῦται Φύλαρχος, ἐκ πολλοῖς ἀντιδοξῶν καὶ τἀναντία γράφων αὐτῷ χρήσιμον ἂν εἴη, μᾶλλον δ' ἀναγκαῖον ἡμῖν Ἀράτῳ προῃρημένοις κατακολουθεῖν περὶ τῶν Κλεομενικῶν, μὴ παραλιπεῖν ἄσκεπτον τοῦτο τὸ μέρος, ἵνα μὴ τὸ ψεῦδος ἐν τοῖς γράμμασιν ἰσοδυναμοῦν ἀπολίπωμεν πρὸς τὴν ἀλήθειαν. καθόλου μὲν οὖν ὁ συγγραφεὺς οὗτος πολλὰ παρ' ὅλην τὴν πρα-

γματείαν εἰκῇ καὶ ὡς ἔτυχεν εἴρηκε. πλὴν περὶ μὲν τῶν ἄλλων ἴσως οὐκ ἀναγκαῖον ἐπιτιμᾷν κατὰ τὸ παρὸν, οὐδ' ἐξακριβοῦν· ὅσα δὲ συνεπιβάλλει τοῖς ὑφ' ἡμῶν γραφομένοις καιροῖς, ταῦτα δ' ἐστὶ τὰ περὶ τὸν Κλεομενικὸν πόλεμον, ὑπὲρ τούτων ἀναγκαῖόν ἐστιν ἡμῖν διευκρινεῖν. ἔσται δὲ πάντως ἀρκοῦντα ταῦτα πρὸς τὸ καὶ τὴν ὅλην αὐτοῦ προαίρεσιν καὶ δύναμιν ἐν τῇ πραγματείᾳ καταμαθεῖν.

Philinus Agrigentinus.

Polyb. I. 14.

Οὐχ ἧττον δὲ τῶν προειρημένων παρωξύνθην ἐπιστῆσαι τούτῳ τῷ πολέμῳ καὶ διὰ τὸ τοὺς ἐμπειρότατα δοκοῦντας γράφειν ὑπὲρ αὐτοῦ, Φιλῖνον καὶ Φάβιον, μὴ δεόντως ἡμῖν ἀπηγγελκέναι τὴν ἀλήθειαν. ἑκόντας μὲν οὖν ἐψεῦσθαι τοὺς ἄνδρας οὐχ ὑπολαμβάνω, στοχαζόμενος ἐκ τοῦ βίου καὶ τῆς αἱρέσεως αὐτῶν· δοκοῦσι δέ μοι πεπονθέναι τι παραπλήσιον τοῖς ἐρῶσι· διὰ γὰρ τὴν αἵρεσιν καὶ τὴν ὅλην εὔνοιαν Φιλίνῳ μὲν πάντα δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως, καλῶς, ἀνδρωδῶς, οἱ δὲ Ῥωμαῖοι τἀναντία, Φαβίῳ δὲ τοὔπαλιν τούτων.

Philochorus Atheniensis.

Suidas s. v.

Φιλόχορος, Κύκνου, Ἀθηναῖος, μάντις καὶ ἱεροσκόπος. γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένει. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ'· περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας, ἕως Ἀντιόχου τοῦ τελευταίου, τοῦ προσαγορευθέντος Θεοῦ. ἔστι δὲ πρὸς Δήμωνα. Περὶ μαντικῆς δ'. Περὶ θυσιῶν ά. Περὶ τῆς τετραπόλεως. Σαλαμῖνος κτίσις. Ἐπιγράμματα Ἀττικά. Περὶ

τῶν Ἀθήνησιν ἀγώνων βιβλία ιζ'. Περὶ τῶν Ἀθήνησιν ἀρξάντων, ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου. Ὀλυμπιάδας ἐν βιβλίοις β'. Πρὸς τὴν Δήμωνος Ἀτθίδα. Ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος. Ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν. Περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε'. Περὶ Εὐριπίδου. Περὶ Ἀλκμᾶνος. Περὶ μυστηρίων τῶν Ἀθήνησι. Συναγωγὴν ἡρωΐδων, ἤτοι Πυθαγορείων γυναικῶν. Δηλιακὰ βιβλία β'. Περὶ εὑρημάτων. Περὶ καθαρμῶν. Περὶ συμβόλων.

Polemo Periegeta.

Suidas s. v.

Πολέμων, Εὐηγέτου, Ἰλιεὺς, κώμης Γλυκυίας ὄνομα, Ἀθήνησι δὲ πολιτογραφηθείς· διὸ ἐπεγράφετο Ἑλλαδικός· ὁ κληθεὶς Περιηγητὴς, ἱστορικός. γέγονε κατὰ τὸν Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε Περιήγησιν Ἰλίου, ἐν βιβλίοις γ'. Κτίσεις τῶν ἐν Φωκίδι πόλεων, καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας αὐτῶν. Κτίσεις τῶν ἐν Πόντῳ πόλεων. Περὶ τῶν ἐν Λακεδαίμονι πόλεων. καὶ ἄλλα πλεῖστα· ἐν οἷς καὶ Κοσμικὴν Περιήγησιν, ἤτοι γεωγραφίαν.

Athenaeus VI. p. 234. d.

Πολέμων γοῦν — ὁ εἴτε Σάμιος ἢ Σικυώνιος εἴτ' Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει καθαριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων πόλεων· ἐπεκαλεῖτο δὲ καὶ στηλοκόπας, ὡς Ἡρόδικος ὁ Κρατήτειος εἴρηκε — γράψας περὶ παρασίτων φησὶν οὕτως. κ. τ. λ.

Id. X. p. 436. c.

. . . . . . ὡς τὸ ἐπίγραμμα δηλοῖ, ὅπερ ἀνέγραψε Πολέμων ἐν τῷ περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων.

προειρημένον φιλίαν καὶ συνήθειαν, ὥστε μὴ μόνον ἕως τῆς Ἰταλίας καὶ τῆς Ἑλλάδος ἐπιδιατεῖναι τὴν περὶ αὐτῶν φήμην, ἀλλὰ καὶ τοῖς ποῤῥωτέρω γνώριμον γενέσθαι τὴν αἵρεσιν καὶ συμπεριφορὰν αὐτῶν. . . . . . προβαινούσης δὲ τῆς συνηθείας καὶ τῶν ἀνακεκλημένων ἐκπεμπομένων ἐπὶ τὰς πόλεις, διέπεσαν ὅ τε Φάβιος καὶ ὁ Σκιπίων, οἱ τοῦ Λευκίου νεανίσκοι, πρὸς τὸν στρατηγὸν, μεῖναι τὸν Πολύβιον ἐν τῇ Ῥώμῃ.

Pausan. VIII. 30.

Μεγαλοπολίταις δὲ ἐπὶ τῆς ἀγορᾶς ἐστιν ὄπισθεν τοῦ περιβόλου, τοῦ ἀνειμένου τῷ Λυκαίῳ Διΐ, ἀνὴρ ἐπειργασμένος ἐπὶ στήλῃ Πολύβιος Λυκόρτα· γέγραπται δὲ καὶ ἐλεγεῖα ἐπ' αὐτῷ λέγοντα, ὡς ἐπὶ γῆν καὶ θάλασσαν πᾶσαν πλανηθείη, καὶ ὅτι σύμμαχος γένοιτο Ῥωμαίων καὶ παύσειεν αὐτοὺς ὀργῆς· ἐς τὸ Ἑλληνικόν . . . . . ὅσα μὲν δὴ Πολυβίῳ παραινοῦντι ὁ Ῥωμαῖος [ὁ Σκιπίων] ἐπείθετο, ἐς ὀρθὸν ἐχώρησεν αὐτῷ· ἃ δὲ οὐκ ἠκροᾶτο διδάσκοντος, γενέσθαι οἱ λέγουσιν ἁμαρτήματα. Ἑλλήνων δὲ ὁπόσαι πόλεις ἐς τὸ Ἀχαϊκὸν συνετέλουν, παρὰ Ῥωμαίων εὕραντο αὗται Πολύβιόν σφισι πολιτείας τε καταστήσασθαι καὶ νόμους θεῖναι.

Polyb. XXXV. 6.

Ὑπὲρ τῶν ἐξ Ἀχαΐας φυγάδων ἐντευχθεὶς ὁ Κάτων διὰ Πολύβιον ὑπὸ Σκιπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ λόγος ἐγίγνετο, τῶν μὲν διδόντων κάθοδον αὐτοῖς, τῶν δ' ἐνισταμένων· ἀναστὰς ὁ Κάτων, Ὥσπερ οὐκ ἔχοντες ὃ πράττωμεν, καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γεροντίων Γραικῶν ζητοῦντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν ἢ τῶν ἐν Ἀχαΐᾳ νεκροφόρων ἐκκομισθῶσι. ψηφισθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν, ἡμέρας ὀλίγας οἱ περὶ τὸν Πολύβιον διαλιπόντες κ. τ. λ.

Id. III. 59.

Ἐπειδὴ καὶ τὸ πλεῖον τούτου χάριν ὑπεδεξάμεθα τοὺς κινδύνους καὶ τὰς κακοπαθείας τὰς συμβάσας ἡμῖν ἐν πλάνῃ τῇ κατὰ Λιβύην, καὶ κατ' Ἰβηρίαν, ἔτι δὲ Γαλατίαν, καὶ τὴν ἔξωθεν ταύταις ταῖς χώραις συγκυροῦσαν θάλατταν· ἵνα, διορθωσάμενοι τὴν τῶν προγεγονότων ἄγνοιαν ἐν τούτοις, γνώριμα ποιήσωμεν τοῖς Ἕλλησι καὶ ταῦτα τὰ μέρη τῆς οἰκουμένης.

Id. XXXIX. 3.

Ὁ δὲ Σκιπίων, Καρχηδόνα ὁρῶν τότε ἄρδην τελευτῶσαν ἐς πανολεθρίαν ἐσχάτην, λέγεται μὲν δακρῦσαι, καὶ φανερὸς γενέσθαι κλαίων ὑπὲρ πολεμίων . . . . . καὶ τάδε μὲν Πολύβιος αὐτὸς ἀκούσας συγγράφει.

Id. XL. 8.

Ἐπεβάλετο [γὰρ ὁ Πολύβιος] διδάσκειν διὰ πλειόνων ἀκολούθως τοῖς ἐν ἀρχαῖς ἡμῖν εἰρημένοις περὶ τἀνδρός. ταῦτα δ' ἦν, ὅτι διαφέροιτο μὲν πρὸς Ῥωμαίους πολλάκις ὑπὲρ τῶν ἐπιταττομένων, διαφέροιτο δὲ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον διδάσκειν καὶ πείθειν ὑπὲρ τῶν ἀμφισβητουμένων· οὐδὲ τοῦτο ποιεῖν εἰκῇ· πεῖραν δὲ τῆς προαιρέσεως αὐτὸν ἀληθινὴν, ἔφη, καὶ, τὸ δὴ λεγόμενον, ἐκ πυρὸς παρεσχῆσθαι χάριν, κατὰ τοὺς Φιλιππικοὺς καὶ κατὰ τοὺς Ἀντιοχικοὺς καιρούς.

Id. III. 1.

Ὄντος γὰρ ἑνὸς ἔργου καὶ θεάματος ἑνὸς τοῦ σύμπαντος, ὑπὲρ τούτου γράφειν ἐπικεχειρήκαμεν· τοῦ πῶς καὶ πότε καὶ διὰ τί πάντα τὰ γνωριζόμενα μέρη τῆς οἰκουμένης ὑπὸ τὴν Ῥωμαίων δυναστείαν ἐγένετο. τούτου δ' ἔχοντος καὶ τὴν ἀρχὴν γνωριζομένην καὶ τὸν χρόνον ὡρισμένον καὶ τὴν συντέλειαν ὁμολογουμένην· χρήσιμον ἡγούμεθ' εἶναι, καὶ τὸ περὶ τῶν μεγίστων ἐν αὐτῷ μερῶν,

ὅσα μεταξὺ κεῖται τῆς ἀρχῆς καὶ τοῦ τέλους, κεφαλαιωδῶς ἐπιμνησθῆναι καὶ προεκθέσθαι.

Lucian. Macrob. T. III. p. 225. Reitz.

Πολύβιος δὲ ὁ Λυκόρτα Μεγαλοπολίτης, ἀγρόθεν ἀνελθὼν, ἀφ' ἵππου κατέπεσε, καὶ ἐκ τούτου νοσήσας, ἀπέθανεν ἐτῶν δύο καὶ ὀγδοήκοντα.

Polyb. III. 32.

Τοὺς ὑπολαμβάνοντας, δύςκτητον εἶναι καὶ δύςγνωστον τὴν ἡμετέραν πραγματείαν διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν βίβλων, ἀγνοεῖν νομιστέον. πόσῳ γὰρ ῥᾷόν ἐστι καὶ κτήσασθαι καὶ διαγνῶναι βίβλους τετταράκοντα, καθαπερανεὶ κατὰ μίτον ἐξυφασμένας κ. τ. λ.

Id. X. 24.

Ἐπεὶ δὲ πρότερον ἐν τρισὶ βιβλίοις ἐκτὸς ταύτης τῆς συντάξεως τὸν ὑπὲρ αὐτοῦ [τοῦ Φιλοποίμενος] πεποιήμεθα λόγον, τήν τε παιδικὴν ἀγωγὴν διασαφοῦντες καὶ τὰς ἐπιφανεστάτας πράξεις· κ. τ. λ.

Id. IX. 20.

Ὑπὲρ ὧν ἡμῖν ἐν τοῖς περὶ τὰς Τάξεις Ὑπομνήμασιν ἀκριβέστερον δεδήλωται.

§. 35.

Agatharchides Cnidius.

Photius Bibl. Cod. 213. p. 281. seq. H.

Ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν. ἔνιοι δὲ αὐτὸν Ἀγάθαρχον ὀνομάζουσι. τούτῳ πατρὶς μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο· ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ Λέμβρου Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέσχε γνωρίζεσθαι. ἦν δὲ καὶ θρεπτὸς Κινναίου. γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν ἔγνωμεν ἐν βιβλίοις ι'· καὶ τῶν κατὰ τὴν Εὐρώπην δὲ εἰς θ' καὶ μ' παρατείνεται αὐτῷ ἡ ἱστορία. ἀλλὰ καὶ ε' βι-

βλία τὴν Ἐρυθρὰν αὐτῷ πᾶσαν καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι, ... ἔστι δὲ, ἐξ ὧν τὸν ἄνδρα τοὺς λόγους αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικὸς, καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι τῶν ἄλλων μᾶλλον χαίρων, λέξεσι μέντοι λογάσιν οὐ πάνυ προςτεθειμένος κ. τ. λ.

Strabo XIV. p. 656.

Ἄνδρες δ' ἀξιόλογοι Κνίδιοι . . . . . . εἶτ' Ἀγαθαρχίδης, ὁ ἐκ τῶν περιπάτων, ἀνὴρ συγγραφεύς.

Athen. XII. p. 539. b.

Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ περὶ Ἀσίας καὶ τοὺς ἑταίρους φησὶ τοὺς Ἀλεξάνδρου ὑπερβαλούσῃ τρυφῇ χρήσασθαι.

Id. VI. p. 272. d.

Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν Δαρδανεῖς φησι δούλους κεκτῆσθαι κ. τ. λ.

Id. VI. p. 251. f.

Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ τῶν ἱστοριῶν, Αἰρήσιππος, φησίν, κ. τ. λ.

Diodor. III. 11.

Ἀγαθαρχίδης μὲν γὰρ ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν περὶ τὴν Ἀσίαν, καὶ ὁ τὰς γεωγραφίας συνταξάμενος Ἀρτεμίδωρος ὁ Ἐφέσιος κατὰ τὴν ὀγδόην βίβλον, καί τινες ἕτεροι τῶν ἐν Αἰγύπτῳ κατοικούντων, ἱστορηκότες τὰ πλεῖστα τῶν προειρημένων, ἐν πᾶσι σχεδὸν ἐπιτυγχάνουσι.

Apollodorus Atheniensis.

Suidas s. v.

Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικὸς, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

Alexander Polyhistor.

Suidas s. v.

Ἀλέξανδρος, ὁ Μιλήσιος, ὃς Πολυΐστωρ ἐπεκλήθη, καὶ Κορνήλιος, διότι Κορνηλίῳ Λεντούλῳ αἰχμαλωτισθεὶς ἐπράθη, καὶ αὐτῷ παιδαγωγὸς ἐγένετο, εἶτα ἠλευθερώθη. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ τῶν Σύλλα χρόνων, καὶ ἐπὶ τάδε· ἀνῃρέθη δὲ ἐν Λαυρενταῖς, ὑπὸ πυρὸς τῆς οἰκίας φθαρείσης. καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη, μαθοῦσα τὸ συμβὰν, ἀπήγξατο. ἦν δὲ γραμματικὸς, τῶν Κράτητος μαθητῶν. οὗτος συνέγραψε βιβλία ἀριθμοῦ κρείττω. καὶ περὶ Ῥώμης βιβλία πέντε.

Euseb. Praep. Evang. IX. 17.

Συνᾴδει δὲ τούτοις ὁ πολυΐστωρ Ἀλέξανδρος, πολύνους ὢν καὶ πολυμαθὴς ἀνὴρ, τοῖς τε μὴ πάρεργον τὸν ἀπὸ παιδείας καρπὸν πεποιημένοις Ἕλλησι γνωριμώτατος.

Artemidorus Ephesius.

Marcian. Heracl. in Periplo.

Ἀρτεμίδωρος ὁ Ἐφέσιος, γεωγράφος, ἐν ἕνδεκα τοῖς τῆς γεωγραφίας βιβλίοις τὸν Περίπλουν, ὡς ἂν ἦν μάλιστα δυνατὸν, συνέγραψεν.

Posidonius Apamensis.

Suidas s. v.

Ποσειδώνιος, Ἀπαμεὺς ἐκ Συρίας, ἢ Ῥόδιος, φιλόσοφος στωϊκὸς, ὃς ἐπεκλήθη Ἀθλητής. σχολὴν δ' ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.

Ποσειδώνιος Ἀλεξανδρεὺς, φιλόσοφος στωϊκὸς, μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἱστορίαν τῶν μετὰ Πολύβιον, ἐν βιβλίοις νβ', ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου.

Strabo XI. p. 491. seq.

Ποσειδώνιος δὲ [σταδίων] χιλίων πεντακοσίων εἴρηκε τὸν ἰσθμὸν, ὅσον καὶ τὸν ἀπὸ Πηλουσίου ἰσθμὸν ἐς τὴν Ἐρυθράν· δοκῶ δὲ, φησὶ, μὴ πολὺ διαφέρειν μηδὲ τὸν ἀπὸ τῆς Μαιώτιδος εἰς τὸν Ὠκεανόν. οὐκ οἶδα δὲ, πῶς ἄν τις περὶ τῶν ἀδήλων αὐτῷ πιστεύσειε, μηδὲν εἰκὸς ἔχοντι εἰπεῖν περὶ αὐτῶν, ὅταν περὶ τῶν φανερῶν οὕτω παραλόγως λέγῃ· καὶ ταῦτα φίλος Πομπηΐῳ γεγονὼς, τῷ στρατεύσαντι ἐπὶ τοὺς Ἴβηρας καὶ τοὺς Ἀλβανοὺς, μέχρι τῆς ἐφ' ἑκάτερα θαλάττης, τῆς τε Κασπίας καὶ τῆς Κολχικῆς. φασὶ γοῦν ἐν Ῥόδῳ γενόμενον τὸν Πομπήϊον, ἡνίκα ἐπὶ τὸν ληστρικὸν πόλεμον ἐξῆλθεν, εὐθὺς δ' ἔμελλε καὶ ἐπὶ Μιθριδάτην ὁρμήσειν καὶ τὰ μέχρι τῆς Κασπίας ἔθνη, παρατυχεῖν διαλεγομένῳ τῷ Ποσειδωνίῳ· ἀπίοντα δ' ἐρέσθαι, εἴτι προστάττει· τὸν δ' εἰπεῖν Αἰὲν ἀριστεύειν, καὶ ὑπείροχον ἔμμεναι ἄλλων. προστίθει δὲ τούτοις, ὅτι καὶ τὴν ἱστορίαν συνέγραψε τὴν περὶ αὐτόν. διὰ δὴ ταῦτα ἐχρῆν φροντίσαι τἀληθοῦς πλέον τι.

Athenaeus IV. p. 168. d.

Παρὰ δὲ Ῥωμαίοις μνημονεύεται, ὥς φησι Ποσειδώνιος ἐν τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῶν ἱστοριῶν, Ἀπίκιόν τινα ἐπὶ ἀσωτίᾳ πάντας ἀνθρώπους ὑπερηκοντικέναι.

Strabo XVI. p. 753.

Ἐντεῦθεν δ' ἐστὶ [ἐκ τῆς Ἀπαμείας] Ποσειδώνιος ὁ στωϊκὸς, ἀνὴρ τῶν καθ' ἡμᾶς φιλοσόφων πολυμαθέστατος.

Id. III. p. 147.

Ποσειδώνιος δὲ ὁ τὸ πλῆθος τῶν μετάλλων ἐπαινῶν καὶ τὴν ἀρετὴν, οὐκ ἀπέχεται τῆς συνήθους ῥητορίας, ἀλλὰ συνενθουσιᾷ ταῖς ὑπερβολαῖς.

Id. II. p. 94.

Ἴδωμεν δὲ καὶ Ποσειδώνιον, ἅ φησιν ἐν ταῖς περὶ Ὠκεανοῦ· δοκεῖ γὰρ ἐν αὐτοῖς τὰ πολλὰ γεωγραφεῖν, τὰ μὲν οἰκείως, τὰ δὲ μαθηματικώτερον.

Castor Rhodius.

Suidas s. v.

Κάστωρ Ῥόδιος, ἢ ὥς τινες Γαλάτης· ὡς δὲ ἄλλοι ἐπλανήθησαν, Μασσαλιώτης· ῥήτωρ· ὃς ἐκλήθη Φιλορώμαιος. γήμας δὲ οὗτος Δηϊοτάρου τοῦ συγκλητικοῦ θυγατέρα, ἀνηρέθη ὑπ' αὐτοῦ ἅμα τῇ γαμετῇ, διότι αὐτὸν Καίσαρι διέβαλεν. ἔγραψε δὲ Ἀναγραφὴν Βαβυλῶνος, καὶ τῶν θαλασσοκρατησάντων, ἐν βιβλίοις β'. Χρονικὰ ἀγνοήματα· καὶ Περὶ ἐπιχειρημάτων ἐν βιβλίοις θ'. Περὶ πειθοῦς β'. Περὶ τοῦ Νείλου. Τέχνην ῥητορικήν. καὶ ἕτερα.

§. 36.

Diodorus Siculus.

Diodor. I. 4.

Διόπερ ἡμεῖς ὁρῶντες ταύτην τὴν ὑπόθεσιν χρησιμωτάτην μὲν οὖσαν, πολλοῦ δὲ πόνου καὶ χρόνου προςδεομένην, τριάκοντα μὲν ἔτη περὶ αὐτὴν ἐπραγματεύθημεν, μετὰ δὲ πολλῆς κακοπαθείας καὶ κινδύνων ἐπήλθομεν πολλὴν τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης, ἵνα τῶν ἀναγκαιοτάτων καὶ πλείστων μερῶν αὐτόπται γενηθῶμεν. πολλὰ γὰρ παρὰ τὰς ἀγνοίας τῶν τόπων διήμαρτον οὐχ οἱ τυχόντες [μόνον] τῶν συγγραφέων, ἀλλά τινες καὶ τῶν τῇ δόξῃ πεπρωτευκότων. ἀφορμῇ δὲ πρὸς τὴν ἐπιβολὴν ταύτην ἐχρησάμεθα μάλιστα μὲν τῇ πρὸς τὴν πραγματείαν ἐπιθυμίᾳ, δι' ἣν πᾶσιν ἀνθρώποις τὸ δοκοῦν ἄπορον εἶναι τυγχάνει συντελείας, ἔπειτα καὶ διὰ τὴν ἐν τῇ Ῥώμῃ χορηγίαν τῶν πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν ἀνηκόντων.

ἡ γὰρ ταύτης τῆς πόλεως ὑπεροχὴ διατείνουσα τῇ δυνάμει πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἑτοιμοτάτας καὶ πλείστας ἡμῖν ἀφορμὰς παρέσχετο παρεπιδημήσασιν ἐν αὐτῇ πλείω χρόνον. ἡμεῖς γὰρ ἐξ Ἀγυρίου τὸ γένος τῆς Σικελίας ὄντες, καὶ διὰ τὴν ἐπιμιξίαν τοῖς ἐν τῇ νήσῳ πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων διαλέκτου περιπεποιημένοι, πάσας τὰς τῆς ἡγεμονίας ταύτης πράξεις ἀκριβῶς ἀνελάβομεν ἐκ τῶν παρ' ἐκείνοις ὑπομνημάτων, ἐκ πολλῶν χρόνων τετηρημένων. πεποιήμεθα δὲ τὴν ἀρχὴν τῆς ἱστορίας ἀπὸ τῶν μυθολογουμένων παρ' Ἕλλησί τε καὶ βαρβάροις, ἐξετάσαντες τὰ παρ' ἑκάστοις ἱστορούμενα κατὰ τοὺς ἀρχαίους χρόνους ἐφ' ὅσον ἡμῖν δύναμις. ἐπεὶ δ' ἡ μὲν ὑπόθεσις ἔχει τέλος, αἱ βίβλοι δὲ μέχρι τοῦ νῦν ἀνέκδοτοι τυγχάνουσιν οὖσαι, βούλομαι βραχέα προδιορίσαι περὶ ὅλης τῆς πραγματείας. τῶν γὰρ βίβλων ἡμῖν ἓξ αἱ πρῶται περιέχουσι τὰς πρὸ τῶν Τρωϊκῶν πράξεις καὶ μυθολογίας, καὶ τούτων αἱ μὲν προηγούμεναι τρεῖς τὰς βαρβαρικάς, αἱ δ' ἑξῆς σχεδὸν τὰς τῶν Ἑλλήνων ἀρχαιολογίας. ἐν δὲ ταῖς μετὰ ταύτας ἕνδεκα τὰς ἀπὸ τῶν Τρωϊκῶν κοινὰς πράξεις ἀναγεγράφαμεν ἕως τῆς Ἀλεξάνδρου τελευτῆς. ἐν δὲ ταῖς ἑξῆς εἴκοσι καὶ τρισὶ βίβλοις τὰς λοιπὰς ἁπάσας κατετάξαμεν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις πρὸς Κελτούς, καθ' ὃν ἡγούμενος Γάϊος Ἰούλιος Καῖσαρ ὁ διὰ τὰς πράξεις προςαγορευθεὶς θεὸς κατεπολέμησε μὲν τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη, προεβίβασε δὲ τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων. τούτου δ' αἱ πρῶται πράξεις ἀπετελέσθησαν Ὀλυμπιάδος τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς κατὰ τὸ πρῶτον ἔτος ἐπ' ἄρχοντος Ἀθήνησιν Ἡρώδου.

Dionysius Halicarnassensis.

Dionys. Antiq. Rom. I. 7. p. 20. seq. Reisk.

Ἐγὼ καταπλεύσας εἰς Ἰταλίαν ἅμα τῷ καταλυθῆναι τὸν ἐμφύλιον πόλεμον ὑπὸ τοῦ Σεβαστοῦ Καίσαρος, ἑβδό-

μης καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος μεσούσης, καὶ τὸν ἐξ ἐκείνου χρόνον ἐτῶν δύο καὶ εἴκοσι μέχρι τοῦ παρόντος γενόμενον ἐν Ῥώμῃ διατρίψας, διαλεκτόν τε τὴν Ῥωμαϊκὴν ἐκμαθὼν καὶ γραμμάτων ἐπιχωρίων λαβὼν ἐπιστήμην, ἐν παντὶ τούτῳ χρόνῳ τὰ συντείνοντα πρὸς τὴν ὑπόθεσιν ταύτην διετέλουν πραγματευόμενος. καὶ τὰ μὲν παρὰ τῶν λογιωτάτων ἀνδρῶν, οἷς εἰς ὁμιλίαν ἦλθον, διδαχῇ παραλαβών· τὰ δὲ ἐκ τῶν ἱστοριῶν ἀναλεξάμενος, ἃς οἱ πρὸς αὐτῶν ἐπαινούμενοι Ῥωμαῖοι συνέγραψαν, Πόρκιός τε Κάτων καὶ Φάβιος Μάξιμος καὶ Οὐαλέριος Ἀντιὰς καὶ Λικίννιος Μάκερ, Αἴλιοί τε καὶ Γέλλιοι καὶ Καλπούρνιοι, καὶ ἕτεροι πρὸς τούτοις συχνοὶ ἄνδρες οὐκ ἀφανεῖς· ἀπ' ἐκείνων ὁρμώμενος τῶν πραγματειῶν· εἰσὶ δὲ ταῖς Ἑλληνικαῖς χρονογραφίαις ἐοικυῖαι· τότε ἐπεχείρησα τῇ γραφῇ.

Nicolaus Damascenus.

Suidas s. v.

Νικόλαος Δαμασκηνὸς, γνώριμος Ἡρώδου τοῦ τῶν Ἰουδαίων βασιλέως, καὶ Αὐγούστου Καίσαρος, φιλόσοφος περιπατητικὸς, ἢ Πλατωνικός. ἔγραψεν Ἱστορίαν καθολικὴν ἐν βιβλίοις ὀγδοήκοντα· καὶ τοῦ βίου Καίσαρος Ἀγωγήν. οὕτω δὲ ἠσπάζετο αὐτὸν ὁ Καῖσαρ, ὡς τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι, ἤγουν μελιττούτας, Νικολάους αὐτὸν καλεῖν. καὶ διαμένει τοῦτο ἄχρι τοῦ σήμερον. ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς κ. τ. λ.

Athenaeus VI. p. 249. a.

Νικόλαος δ' ὁ Δαμασκηνός· εἷς δ' ἦν τῶν ἐκ τοῦ περιπάτου· ἐν τῇ πολυβίβλῳ ἱστορίᾳ (ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέτταρσι) τῇ ἑκκαιδεκάτῃ καὶ ἑκατοστῇ φησιν κ. τ. λ.

Strabo Amasensis.

Strabo XII. p. 560.

Ταύτης δὲ τῆς χώρας [τῆς Φαζημωνίτιδος] τὸ μὲν προσάρκτιον πλευρὸν ἡ Γαζηλωτὸς συγκλείει, καὶ ἡ τῶν Ἀμισηνῶν· τὸ δὲ ἑσπέριον ὁ Ἅλυς, τὸ δ' ἑῷον ἡ Φανάροια, τὸ δὲ λοιπὸν ἡ ἡμετέρα χώρα ἡ τῶν Ἀμασέων, πολὺ πασῶν πλείστη καὶ ἀρίστη.

Id. II. p. 117.

Ἐπήλθομεν δὲ ἐπὶ δύσιν μὲν ἀπὸ τῆς Ἀρμενίας μέχρι τῶν κατὰ Σαρδῶνα τόπων τῆς Τυῤῥηνίας· ἐπὶ μεσημβρίαν δὲ ἀπὸ τοῦ Εὐξείνου μέχρι τῶν τῆς Αἰθιοπίας ὅρων. οὐδὲ τῶν ἄλλων δὲ οὐδὲ εἷς ἂν εὑρεθείη τῶν γεωγραφησάντων πολύ τι ἡμῶν μᾶλλον ἐπεληλυθὼς τῶν λεχθέντων διαστημάτων.

§. 37.

Iosephus Iudaeus.

Suidas s. v.

Ἰώσηπος, Ἰουδαῖος, φιλαλήθης. . . . . . Ματθαίου παῖς ἱερέως ἐξ Ἱεροσολύμων· ὁ γράψας τὴν Ἰουδαϊκὴν Ἀρχαιολογίαν ἐν βιβλίοις κ'. οὗτος ἁλοὺς παρὰ Οὐεσπασιανοῦ καὶ Τίτου τοῦ υἱοῦ αὐτοῦ, ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἁλώσει κατέλειφθη, καὶ σὺν αὐτοῖς εἰς Ῥώμην ἐλθὼν, ἑπτὰ λόγους τῆς Ἱεροσολύμων ἁλώσεως τοῖς βασιλεῦσι προσήνεγκεν, οἵτινες τῇ δημοσίᾳ βιβλιοθήκῃ παρεδόθησαν, καὶ διὰ τὴν δόξαν τῆς συγγραφῆς ἀνδριάντος ἠξιώθη. ἔγραψε δὲ καὶ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας λόγους κ', ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς ἕως τεσσαρεσκαιδεκάτου ἔτους Δομητιανοῦ Καίσαρος· καὶ β' βίβλους ἑτέρας ἀρχαιότητος, κατὰ Ἀππίωνος γραμματικοῦ Ἀλεξανδρέως, ὃς ἐπὶ Καλλιγόλᾳ πρεσβευτὴς ἀπεστάλη παρὰ τοῦ μέρους τῶν Ἑλλήνων κατηγορήσων Φίλωνος διὰ λόγου τινὸς κατάγνωσιν περιέχοντος τοῦ Ἰουδαίων ἔθνους. ἔστι

καὶ ἄλλος αὐτοῦ λόγος, περὶ αὐτοκράτορος λογισμοῦ, ἐνάρετος πάνυ, ἐν ᾧ καὶ τοῦ πάθους τῶν Μακκαβαίων ἐμνήσθη. κ. τ. λ.

Apion Alexandrinus.

Suidas s. v.

Ἀπίων, ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος (κατὰ δὲ Ἑλικώνιον, Κρής) γραμματικὸς, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἀκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ, καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ, καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνάσεως. ἔγραψεν Ἱστορίαν κατ' ἔθνος, καὶ ἄλλα τινά.

Plinius H. N. XXXVII, 5.

Apion cognominatus Plistonices, paulo ante scriptum reliquit cet.

Gellius V, 14.

Apion, qui Plistonices appellatus est, literis homo multis praeditus, rerumque Graecarum plurima atque varia scientia fuit. Eius libri non incelebres feruntur, quibus omnium ferme, quae mirifica in Aegypto visuntur audiunturque, historia comprehenditur. Sed in iis, quae vel audisse vel legisse sese dicit, fortassean vitio studioque ostentationis *sit* loquacior: est enim sane quam in praedicandis doctrinis suis venditator.

Plin. Praef. ad Hist. Nat.

Apion quidem Grammaticus, hic quem Tiberius Caesar cymbalum mundi vocabat, quum publicae famae tympanum potius videri possit, immortalitate donari a se scripsit, ad quos aliqua componebat.

Pamphila Aegyptia.

Suidas s. v.

Παμφίλη, Ἐπιδαυρία, σοφή, θυγάτηρ Σωτηρίδου, οὗ λέγεται εἶναι καὶ τὰ συντάγματα, ὡς Διονύσιος ἐν τῇ λ' τῆς μουσικῆς ἱστορίας· ὡς δὲ ἕτεροι γεγράφασι, Σωκρατίδα τοῦ ἀνδρὸς αὐτῆς. Ἱστορικὰ ὑπομνήματα ἐν βιβλίοις λγ'. Ἐπιτομὴν τοῦ Κτησίου, ἐν βιβλίοις γ'. Ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείστας. Περὶ ἀμφισβητήσεων. Περὶ ἀφροδισίων, καὶ ἄλλων πολλῶν.

Photius Bibl. Cod. 175. p. 201. seq. H.

Ἀνεγνώσθησαν Παμφίλης συμμίκτων ἱστορικῶν ὑπομνημάτων λόγοι η'. αὕτη ἀνδρὶ μὲν συνῴκει, ὥς καὶ αὐτὴ τῶν ὑπομνημάτων προοιμιαζομένη ἐπισημαίνεται· ᾧ καὶ ιγ' ἔτη ἐκ παιδὸς συμβιοῦσα ἤδη τῆς ὑπομνηματικῆς ταύτης συγγραφῆς λέγει ἀπάρξασθαι, συγγράψαι δὲ ἅ τε παρὰ τοῦ ἀνδρὸς μάθοι, τὰ ιγ' ἔτη συνεχῶς αὐτῷ συνοῦσα καὶ μηδ' ἡμέραν μηδ' ὥραν ἀπολειπομένη, καὶ ἃ παρ' ἄλλου τινὸς ἀκοῦσαι συνέβη τῶν παρ' αὐτὸν ἀφικνουμένων (πολλοὺς δὲ φοιτᾷν ὄνομα καὶ δόξαν ἔχοντας ἐπὶ παιδείᾳ) καὶ δὴ καὶ ὅσα βιβλίων αὐτὴ ἀνελέξατο. ταῦτα δὲ πάντα, ὅσα λόγου καὶ μνήμης αὐτῇ ἄξια ἐδόκει, εἰς ὑπομνήματα συμμιγῆ καὶ οὐ πρὸς τὰς ἰδίας ὑποθέσεις διακεκριμένον ἕκαστον διελεῖν, ἀλλ' οὕτως εἰκῇ καὶ ὡς ἕκαστον ἐπῆλθεν ἀναγράψαι, ὡς οὐχὶ χαλεπὸν ἔχουσα, φησί, τὸ κατ' εἶδος αὐτὰ διελεῖν, ἐπιτερπέστερον δὲ καὶ χαριέστερον τὸ ἀναμεμιγμένον καὶ τὴν ποικιλίαν τοῦ μονοειδοῦς νομίζουσα. χρήσιμον δὲ τὸ βιβλίον εἰς πολυμαθίαν. εὕροι γὰρ ἄν τις καὶ τῶν ἱστορικῶν οὐκ ὀλίγα ἀναγκαῖα, καὶ δὴ καὶ ἀποφθεγμάτων καὶ ῥητορικῆς διατριβῆς ἔνια καὶ φιλοσόφου θεωρίας καὶ ποιητικῆς ἰδέας, καὶ εἴ τι τοιοῦτον ἐμπέσοι. Αἰγυπτία δὲ τὸ γένος ἡ Παμφίλη. ἤκμασε δὲ καθ' οὓς χρόνους Νέρων ὁ Ῥωμαίων ἤκμαζεν αὐτοκράτωρ. ἡ δὲ φράσις,

ὡς ἔστιν ἐκ τῶν προοιμίων συλλαβεῖν καὶ ἐν οἷς ἄλλοθί που ἴδιόν τι λέγει, καὶ μάλιστα κατὰ τὴν διάνοιαν, οἷα δὴ καὶ γυναικὸς ἔκγονον οὖσα, τῆς ἀφελοῦς ἐστιν ἰδέας, οὐδὲ τῇ λέξει πρὸς τὴν ἰδέαν ἀλλοτριουμένη. ἐν οἷς δὲ τὰ τῶν ἀρχαιοτέρων ἀπομνημονεύουσα λέγει, ποικιλώτερον αὐτῇ καὶ οὐ καθ' ἓν εἶδος σύγκειται ὁ λόγος.

Gellius XV. 17.

Scriptum hoc est in Commentario Pamphilae nono et vicesimo.

Plutarchus Chaeronensis.

Suidas s. v.

Πλούταρχος, Χαιρωνεύς, τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων, καὶ ἔτι πρόσθεν. μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν Ὑπάτων ἀξίας, προςέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε δὲ πολλά.

Arrianus Nicomediensis.

Photius Bibl. Cod. 58. p. 24. seq. H.

Ἀνεγνώσθη Ἀῤῥιανοῦ Παρθικὰ ἐν βιβλίοις ιζ'. οὗτος δὲ συντάττει πάντων ἄμεινον καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, ἔτι δὲ καὶ ἄλλην πραγματείαν, τὰ πάτρια τῆς Βιθυνίας, ἐξ ἧς καὶ αὐτὸς ἔφυ, ἐπιγράψας τὸ βιβλίον Βιθυνιακά. συγγράφεται δὲ καὶ τὰ κατὰ Ἀλανοὺς, ἣν ἐπέγραψεν Ἀλανικήν. διέρχεται δὲ ἐν ταύτῃ τῇ πραγματείᾳ τοὺς πολέμους οὓς ἐπολέμησαν Ῥωμαῖοι καὶ Πάρθοι Ῥωμαίων αὐτοκράτορος ὄντος Τραϊανοῦ. . . . . οὗτος ὁ Ἀῤῥιανὸς φιλόσοφος μὲν ἦν τὴν ἐπιστήμην, εἷς τῶν ὁμιλητῶν Ἐπικτήτου, κατὰ δὲ τοὺς χρόνους Ἀδριανοῦ καὶ Ἀντωνίνου τοῦ Πίου καὶ Μάρκου τοῦ Ἀντωνίνου ἐγνωρίζετο· ἐπωνόμαζον δὲ αὐτὸν Ξενοφῶντα νέον. διὰ δὲ τὸ τῆς παιδείας ἐπίσημον ἄλλας τε πολιτικὰς ἀρχὰς

ἐπιστεύθη καὶ εἰς το τῶν ὑπάτων ἀνέβη τέλος. ἔγραψε δὲ βιβλία καὶ ἕτερα, τῶν μὲν διατριβῶν Ἐπικτήτου τοῦ διδασκάλου ὅσα ἴσμεν βιβλία ὀκτώ, τῶν δὲ ὁμιλιῶν τοῦ αὐτοῦ Ἐπικτήτου βιβλία δώδεκα. ἴχνὸς δὲ τὴν φράσιν ἐστὶ καὶ μιμητὴς ὡς ἀληθῶς Ξενοφῶντος. φασὶ δὲ αὐτὸν καὶ ἕτερα γράψαι, ἃ οὔπω εἰς ἡμετέραν ἀφίκετο γνῶσιν. δῆλον δὲ ὡς οὐδὲ ῥητορικῆς σοφίας τε καὶ δυνάμεως ἀπελείπετο.

Id. Cod. 93. p. 129. seq. H.

Ἀνεγνώσθη τοῦ αὐτοῦ [Ἀῤῥιανοῦ] τὰ Βιθυνιακὰ ἐν βιβλίοις ὀκτώ· ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἄλλα, ὅσα συνέστη περὶ αὐτήν, εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια· Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι.

Lucianus Pseudom.

Ἀῤῥιανὸς γὰρ ὁ τοῦ Ἐπικτήτου μαθητής, ἀνὴρ Ῥωμαίων ἐν τοῖς πρώτοις, καὶ παιδείᾳ παρ' ὅλον τὸν βίον συγγενόμενος.

Appianus Alexandrinus.

Photius Bibl. Cod. 57. p. 22. seq. H.

Ἀνεγνώσθη Ἀππιάνου Ῥωμαϊκὴ ἱστορία, ἐν μὲν τεύχεσι τρισί, λόγοις δὲ κδ'. ὧν ὁ μὲν πρῶτος τόμος τῶν ἑπτὰ βασιλέων, Ῥωμύλου, Νουμᾶ Πομπιλίου, Ἄγκου Ὀστιλίου, καὶ Ἄγκου ἑτέρου τοῦ καὶ Μαρκίου, ἐπιγόνου Νουμᾶ, Ταρκυνίου, Ἑρουίου Τυλλίου, καὶ Ταρκυνίου Λευκίου τοῦ Ταρκυνίου, τούτων τῶν ἑπτὰ ἔργα τε καὶ πράξεις περιέχει . . . . . ἃ μὲν οὖν ὁ πρῶτος λόγος περιέχει, ταῦτά ἐστιν· ἐπιγράφεται δὲ Ῥωμαϊκῶν βασιλική. ὁ δὲ δεύτερος

λέως. οὗτος ἔγραψε Μηχανικὰ βιβλία γ΄. Περὶ φάσεως καὶ ἐπισημασιῶν ἀστέρων ἁπλανῶν βιβλία β΄. Ἅπλωσιν ἐπιφανείας σφαίρας. Κανόνα πρόχειρον. Τὸν μέγαν Ἀστρονόμον, ἤτοι Σύνταξιν. καὶ ἄλλα.

Stephanus Byz. s. v. *Χαράκμωβα.*

Πτολεμαῖος ἐν γεωγραφικοῖς, ἐν πέμπτῳ βιβλίῳ, ἐν τοῖς Ἀραβικοῖς· ἀξιόπιστος δ' ἀνὴρ περὶ τὰ τοιαῦτα· σπουδὴν γὰρ ἔθετο ἱστορῆσαι ἀκριβῶς τὰ τῆς Ἀραβίας.

Marcian. Heracl. Peripl. Init.

. . . . . . *ἐκ τῆς γεωγραφίας τοῦ θειοτάτου καὶ σοφωτάτου Πτολεμαίου.*

Polyaenus Macedo.

Suidas s. v.

Πολύαινος Μακεδὼν, ῥήτωρ. Περὶ Θηβῶν. Τακτικὰ βιβλία γ΄. καὶ ἄλλα.

Pausanias Caesariensis.

Philostratus Vit. Sophist. L. II.

Καισάρεια δὲ ἡ Καππαδοκῶν, ὄρει Ἀργαίῳ πρόσοικος, Παυσανίου τοῦ σοφιστοῦ οἶκος. ὁ δὲ Παυσανίας ἐπαιδεύθη μὲν ὑπὸ Ἡρώδου, καὶ τῶν τοῦ Κλεψυδρίου μετεχόντων εἷς ἐγένετο, οὓς ἐκάλουν οἱ πολλοὶ διψῶντας· ἐς πολλὰ δὲ ἀναφέρων τῶν Ἡρώδου πλεονεκτημάτων, καὶ μάλιστα τὸ αὐτοσχεδιάζειν. ἀπήγγειλε δὲ αὐτὰ παχείᾳ τῇ γλώττῃ, καὶ, ὡς Καππαδόκαις σύνηθες, ξυγκρούων μὲν τὰ σύμφωνα τῶν στοιχείων, συστέλλων δὲ τὰ μηκυνόμενα, καὶ μηκύνων τὰ βραχέα. ὅθεν ἐκάλουν αὐτὸν οἱ πολλοὶ μάγειρον, πολυτελῆ ὄψα πονηρῶς ἀρτύοντα. ἡ δὲ ἰδέα τῆς μελέτης ὑπτιωτέρα. ἔῤῥωται δὲ ὅμως, καὶ οὐχ ἁμαρτάνει τοῦ ἀρχαίου, ὡς ὑπερέχει ταῖς μελέταις ξυμβαλεῖν. πολλαὶ γὰρ αὐτοῦ Παυσανίου κατὰ τὴν Ῥώμην, οὗ δὴ καταβιοὺς

ἀπέθανε γηράσκων ἤδη. καὶ μετέχων δὲ καὶ τοῦ Ἀθήνησιν, ὅτε δὴ καὶ ἀπιὼν ἐκεῖθεν ἐπὶ πᾶσιν οἷς πρὸς τοὺς Ἀθηναίους διεξῆλθε καιριώτατα τὸ τοῦ Εὐριπίδου ἐπεφθέγξατο· Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω πόλιν.*

Dio Cassius.

Suidas s. v.

Δίων, ὁ Κάσιος χρηματίσας, ὁ ἐπίκλην Κοκήϊος· οἱ δὲ, Κοκκηϊανός· Νικαεὺς, ἱστορικὸς, γεγονὼς ἐπὶ τῶν χρόνων Ἀλεξάνδρου τοῦ Μαμαίας· ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν ἐν βιβλίοις π'. διαιροῦνται δὲ κατὰ δεκάδας. Περσικά. Γετικά. Ἐνόδια. Τὰ κατὰ Τραϊανόν. Βίον Ἀῤῥιανοῦ τοῦ φιλοσόφου.

Photius Bibl. Cod. 71. p. 52. H.

Ἀνεγνώσθη βιβλίον Κασσιανοῦ Κοκκιανοῦ ἢ Κοκκίου Δίωνος, ἐν λόγοις π'. ἄρχεται μὲν ἀπὸ τῆς Αἰνείου ἐπὶ τὴν Ἰταλίαν ἐκ Τροίας καθόδου καὶ τῆς κτίσεως Ἄλβης πόλεως καὶ Ῥώμης, διέρχεται δὲ καθεξῆς, ἀποπαυόμενος εἰς τὴν τοῦ Ἀντωνίνου, ὃν Ἐλαγάβαλον ἀπεκάλουν, σφαγήν . . . . . οὐ μόνον δὲ ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν κάτεισιν Ἀλεξάνδρου, ὃς Ἀντωνίνου σφαγέντος (σὺν αὐτῷ γὰρ τὸ κράτος εἶχεν, ἀναληφθεὶς ὑπ' αὐτοῦ) μόνος τὸν ἐπ' αὐτῷ μελετηθέντα κίνδυνον φυγὼν τὴν βασιλείαν ἐκδέχεται. τοῦτόν φησι τὸν Ἀλέξανδρον καὶ συνυπατεῦσαι αὐτῷ ὁ συγγραφεὺς τὸ δεύτερον, καὶ τὸ ὑπὲρ τῆς ἀρχῆς κατὰ τὸ προσῆκον ἀνάλωμα φιλοτιμίᾳ τῇ ἐς τὸν συνύπατον αὐτὸν τὸν αὐτοκράτορα ἀναλῶσαι. οὗτος δ' ὁ συγγραφεὺς Περγάμου μὲν καὶ Σμύρνης (Μακρῖνος αὐτῷ τὴν ἀρχὴν ὁ αὐτοκράτωρ ἐγχειρίζει) ἐπεστάτησεν, ἔπειτα τῆς Ἀφρικῆς ἡγεμόνευσεν, εἶτα Παννονίας ἦρξε, καὶ ὑπατεύσας τὸ δεύτερον, ὡς ἐῤῥήθη, οἴκαδε ἀπῆρε παρειμένος ἐπὶ τῇ τῶν ποδῶν ἀῤῥωστίᾳ, ἐκεῖ τὸ λοιπὸν, ὡς καὶ τὸ δαιμόνιον

αὐτῷ (φησί) προεῖπεν ἐν Βιθυνίᾳ διατρίβοντι, βιωσόμενος ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ. ἔσχε δὲ πατρίδα τὴν ἐν Βιθυνίᾳ Νίκαιαν, ἣν κατὰ μέρη ἡ καλουμένη λίμνη Ἀσκανίη περιλιμνάζει.

Herodianus.

Photius Bibl. Cod. 99. p. 148. seq. H.

Ἀνεγνώσθησαν Ἡρωδιανοῦ ἱστορικοῦ λόγοι ὀκτώ. ἄρχεται ἐξ οὗ Μάρκος ὁ Ῥωμαίων βασιλεὺς ἐτελεύτησε, καὶ διέξεισιν ὅπως τε Κόμοδος ὁ Μάρκου υἱὸς ἐβασίλευσεν . . . . . . οἱ στρατιῶται στασιάσαντες ἐξάγουσι τῶν βασιλείων Βαλβῖνον καὶ Μάξιμον, καὶ πᾶσαν αὐτοὺς αἰκίαν αἰκισάμενοι ἀναιροῦσι, μόνον ἀνειπόντες βασιλέα Γορδιανὸν, περὶ ἔτη τρισκαίδεκα γεγονότα· ἐν οἷς καὶ ὁ ὄγδοος τελειοῦται λόγος. ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ λαμπρὸς καὶ ἡδὺς, καὶ λέξει χρώμενος σώφρονι, μήτε ὑπεραττικιζούσῃ καὶ τὴν ἔμφυτον ἐξυβριζούσῃ χάριν τοῦ συνήθους, μήτε πρὸς τὸ ταπεινὸν ἐκλελυμένῃ καὶ τὴν ἔντεχνον ὑπερορώσῃ γνῶσιν. οὔτε δὲ περιττολογίαις ἐστὶ σεμνυνόμενος, οὔτε τι τῶν ἀναγκαίων παραλιμπάνων, καὶ ἁπλῶς ἐν πάσαις ταῖς κατὰ τὴν ἱστορίαν ἀρεταῖς οὐ πολλῶν ἐστι δεύτερος.

Aelianus Praenestinus.

Suidas s. v.

Αἰλιανὸς ἀπὸ Πραινεστοῦ τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστὴς, ὁ χρηματίσας Κλαύδιος· ὃς ἐπεκλήθη μελίγλωσσος, ἢ μελίφθογγος, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ, ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

Philostrat. Vit. Sophist. L. II.

Αἰλιανὸς δὲ Ῥωμαῖος μὲν ἦν, ἠττίκιζε δὲ ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθηναῖοι. ἐπαίνου μοι δοκεῖ ἄξιος ὁ ἀνὴρ οὗτος, πρῶτον μὲν ἐπειδὴ καθαρὰν φώνην ἐξεπόνησε, πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην· ἔπειθ' ὅτι προσρηθεὶς

σοφιστὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, οὐκ ἐπίστευσεν, οὐδὲ ἐκολάκευσε τὴν ἑαυτοῦ γνώμην, οὐδὲ ἐπήρθη ὑπο τοῦ ὀνόματος οὕτω μεγάλου ὄντος, ἀλλ' ἑαυτὸν εὖ διασκεψάμενος, ὡς μελέτῃ οὐκ ἐπιτήδειον, τὸ συγγράφειν ἐπέθετο, καὶ ἐθαυμάσθη ἐκ τούτου. κ. τ. λ.

§. 39.

Iulius Africanus.

Suidas s. v.

Ἀφρικανὸς, ὁ Σέκτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδ'. εἰσὶ δὲ οἱονεὶ φυσικὰ, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τούτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανίηλ.

Photius Bibl. Cod. 34. p. 9. H.

Ἀνεγνώσθη Ἀφρικανοῦ ἱστορικόν· οὗτός ἐστιν ὁ καὶ τοὺς λεγομένους Κεστοὺς ἐν λόγοις συντάξας ιδ'. ἔστι δὲ σύντομος μὲν, ἀλλὰ μηδὲν τῶν ἀναγκαίων ἱστορηθῆναι παραλιμπάνων. ἄρχεται δὲ ἀπὸ τῆς Μωϋσαϊκῆς κοσμογενείας, καὶ κάτεισιν ἕως τῆς Χριστοῦ παρουσίας. ἐπιτροχάδην δὲ διαλαμβάνει καὶ τὰ ἀπὸ Χριστοῦ μέχρι τῆς Μακρίνου τοῦ Ῥωμαίων βασιλέως βασιλείας, ὅτε αὐτῷ, ὥς φησι, καὶ ἥδε ἡ συγγραφὴ συνετελεῖτο, ἐτῶν οὖσα ‚εψκγ'. τεύχη δὲ τὸ βιβλίον πέντε. οὗτος καὶ πρὸς Ὠριγένην γράφει περὶ τοῦ κατὰ Σωσάνναν διηγήματος, ὡς οὐκ εἴη αὐτῷ ἐν τοῖς Ἑβραϊκοῖς ἀνεγνωσμένον, καὶ ὡς οὐδ' ἀκόλουθον τῇ Ἑβραϊκῇ ἐτυμολογίᾳ οὔτε τὰ ἀπὸ τοῦ πρίνου πρῖσαι οὔτε τὸ ἀπὸ τοῦ σχίνου σχίσαι. ἃ καὶ ἐπιλυόμενος Ὠριγένης ἀντέγραψε. γράφει δὲ Ἀφρικανὸς καὶ πρὸς Ἀριστείδην, ἐν οἷς ἱκανῶς τὴν νομιζομένην διαφωνίαν παρὰ Ματθαίῳ καὶ Λουκᾷ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν γενεαλογίας σύμφωνον ἔδειξεν.

B. Hieron. in Catal. Script. Ill.

Iulius Africanus . . . . . sub imperatore M. Aurelio, qui Macrino successit, legationem pro instauratione Urbis Emaus suscepit, quae postea Nicopolis appellata est.

Eusebius Pamphili.

Suidas s. v.

Εὐσέβιος, ὁ Παμφίλου, προςκείμενος τῇ Ἀρειανικῇ αἱρέσει, ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, σπουδαῖος ἐν ταῖς θείαις γραφαῖς, καὶ τῆς θείας βιβλιοθήκης ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰσι τάδε· Εὐαγγελικῆς ἀποδείξεως λογοι κ'. Εὐαγγελικῆς προπαρασκευῆς λόγοι ιε'. Θεοφανείας λόγοι ε'. Ἐκκλησιαστικῆς ἱστορίας λόγοι ι'. Χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. καὶ Περὶ τῆς τῶν Εὐαγγελίων διαφωνίας. Εἰς τὸν προφήτην Ἠσαίαν λόγοι ι'. Κατα Πορφυρίου τοῦ τότε συγγράφοντος ἐν Σικελίᾳ, ὥς τινες οἴονται, λόγοι λ'. Τοπικῶν λόγος α'. Ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ς'. Περὶ τοῦ βίου τοῦ Παμφίλου λόγοι γ'. Περὶ μαρτύρων ἕτερα συγγράμματα. καὶ εἰς τοὺς ρν' Ψαλμοὺς δεδοκιμασμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως, καὶ Κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς Πάμφιλον τὸν μάρτυρα τῆς ἐπωνυμίας αὐτοῦ ἠξιώθη.

Photius Bibl. Cod. 13. p. 5. H.

Ἀνεγνώσθη Εὐσεβίου ἐλέγχου καὶ ἀπολογίας λόγοι δύο . . . . τὴν δὲ φράσιν οὐκ ἔστιν οὐδαμοῦ οὔτε ἡδὺς οὔτε λαμπρότητι χαίρων. πολυμαθὴς δέ ἐστιν ὁ ἀνήρ, εἰ καὶ τὴν ἀγχίνοιαν καὶ τὸ σταθηρὸν τοῦ ἤθους, ὡς παρὰ τὴν ἀκρίβειαν τὴν ἐν τοῖς δόγμασιν, ἐνδεέστερος· καὶ γὰρ κἂν τούτοις ἐν πολλοῖς ἐστιν αὐτὸν ἰδεῖν τὸν υἱὸν βλασφημοῦντα, καὶ δεύτερον αἴτιον καλοῦντα καὶ ἀρχιστράτηγον καὶ ἄλλα τινὰ τῆς Ἀρειανικῆς λύσσης βλαστήματα. δῆλον ὡς ἐπὶ

Κωνσταντίνου τοῦ μεγάλου οὗτος ἤνθησε. γέγονε δὲ καὶ τῆς Παμφίλου τοῦ ἱερομάρτυρος ἀρετῆς διάπυρος ἐραστής, δι' ἣν αἰτίαν φασί τινες αὐτὸν καὶ τῆς τοῦ Παμφίλου ἐπωνυμίας μετεσχηκέναι.

Dexippus Herennius.

Suidas s. v.

Δέξιππος, Δεξίππου, ὁ Ἐρέννιος χρηματίσας, Ἀθηναῖος, ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλιήνου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ τῶν βασιλέων Ῥωμαίων.

Photius Bibl. Cod. 82. p. 115. H.

Ἀνεγνώσθη Δεξίππου τα μετὰ Ἀλέξανδρον, ἐν λόγοις τέσσαρσιν. ἀνεγνώσθη δὲ αὐτοῦ καὶ ἕτερον σύντομον ἱστορικὸν, μέχρι τῆς Κλαυδίου ἐπιτρέχον τὰς κεφαλαιώδεις πράξεις βασιλείας. ἀνεγνώσθη δὲ αὐτοῦ καὶ τὰ Σκυθικὰ, ἐν οἷς αἱ Ῥωμαίων αὐτῷ καὶ Σκυθῶν ἀναγράφονται πρὸς ἀλλήλους μάχαι τε καὶ ἀξιόλογοι πράξεις. ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ ὄγκῳ καὶ ἀξιώματι χαίρων, καὶ (ὡς ἄν τις εἴποι) ἄλλος μετά τινος σαφηνείας Θουκυδίδης, μάλιστά γε ἐν ταῖς Σκυθικαῖς ἱστορίαις.

Eunapius in Porphyrio.

Γαλίηνος, Κλαύδιος, Τάκιτος, Αὐρηλίανος, Πρῶβος, ... καθ' οὓς χρόνους ἦν καὶ Δέξιππος, ὁ τὴν χρονικὴν ἱστορίαν συγγράψας, ἀνὴρ ἁπάσης παιδείας τε καὶ δυνάμεως λογικῆς ἀνάπλεως.

Eunapius Sardianus.

Photius Bibl. Cod. 77. p. 99. seq. H.

Ἀνεγνώσθη Εὐναπίου χρονικῆς ἱστορίας τῆς μετὰ Δέξιππον, νέας ἐκδόσεως, ἐν βιβλίοις τεσσάρεςκαίδεκα. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Κλαυδίου βασιλείας, ἐς ὃν Δεξίππῳ

ἡ ἱστορία καταλήγει, ἀποτελευτᾷ δὲ εἰς τὴν Ὁνωρίου καὶ Ἀρκαδίου τῶν Θεοδοσίου παίδων βασιλείαν... οὗτος ὁ Εὐνάπιος Σαρδιανὸς μὲν γένος ἐστὶ (τὰς γὰρ ἐν Λυδίᾳ Σάρδεις ἔσχε πατρίδα), δυσσεβὴς δὲ τὴν θρησκείαν ὢν (τὰ Ἑλλήνων γὰρ ἐτίμα), τοὺς μὲν εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσαντας παντὶ τρόπῳ καὶ ἀνέδην κακίζων διασύρει, καὶ μάλιστά γε τὸν μέγαν Κωνσταντῖνον, ἐξαίρει δὲ τοὺς δυσσεβεῖς, καὶ τῶν ἄλλων πλέον Ἰουλιανὸν τὸν παραβάτην, καὶ σχεδόν τι τὸ τῆς ἱστορίας αὐτῷ εἰς τὸ ἐκείνου ἐγκώμιον συντεθὲν ἐξεπόνηθη. ἔστι δὲ καλλιεπὴς τὴν φράσιν, εἰ περιέλοι τις αὐτοῦ τῶν λόγων τὸ ἀλεκτρυονῶδες καὶ ἐλαφωδέστερον καὶ συωδέστερον κ. τ. λ.

Olympiodorus Thebanus.

Photius Bibl. Cod. 80. p. 103. seq. H.

Ἀνεγνώσθησαν Ὀλυμπιοδώρου ἱστορικοὶ λόγοι κβ΄. ἄρχεται ἀπὸ τῆς Ὁνωρίου τοῦ βασιλέως Ῥώμης τῆς ὑπατείας τὸ ἕβδομον καὶ Θεοδοσίου τὸ δεύτερον, κατέρχεται δὲ μέχρις ὅτου Βαλεντινιανὸς ὁ Πλακιδίας καὶ Κωνσταντίνου παῖς εἰς τὴν βασίλειον τῆς Ῥώμης ἀνεῤῥήθη ἀρχήν. οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστι, ἐκ τῶν πρὸς Αἴγυπτον Θηβῶν τὸ γενὸς ἔχων, ποιητὴς, ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα, Ἕλλην τὴν θρήσκειαν, σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν, ὥστε μηδ' ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος .... ὕλην δὲ αὐτος ἱστορίας ταῦτα καλῶν, ὅμως καὶ λόγοις διαιρεῖ καὶ προοιμίοις πειρᾶται κοσμεῖν, καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ὁνωρίου καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ.

Zosimus.

Photius Bibl. Cod. 98. p. 147. H.

Ἀνεγνώσθη ἱστορικὸν λόγοις ἓξ Ζωσίμου κόμητος ἀπὸ φισκοσυνηγόρου. ἔστι τὴν θρησκείαν ἀσεβὴς καὶ πολλάκις ἐν πολλοῖς ὑλακτῶν κατὰ τῶν εὐσεβῶν, σύντομος δὲ καὶ τὴν φράσιν εὐκρινής τε καὶ καθαρὸς, οὐδὲ τοῦ ἡδέος ἀπῳκισμένος. ἄρχεται μὲν τῆς ἱστορίας, ὡς ἄν τις εἴποι, ἀπὸ Αὐγούστου, ἐπιτρέχει δὲ πάντας τοὺς μέχρι Διοκλητιανοῦ, ψιλὴν ὥσπερ τὴν ἀνάῤῥησιν καὶ τὴν διαδοχὴν αὐτῶν ἀφηγούμενος. ἀπὸ δὲ Διοκλητιανοῦ πλατύτερον περὶ τῶν βεβασιλευκότων διαλαμβάνει ἐν βιβλίοις πέντε· τὸ γὰρ πρῶτον τοὺς μέχρι Διοκλητιανοῦ ἀπὸ Αὐγούστου ἀριθμεῖται. καὶ πληροῖ τὴν ἕκτην βίβλον ἐν ἐκείνοις ἀπαρτιζομένην τοῖς χρόνοις, ἐν οἷς Ἀλάριχος τὴν Ῥώμην τὸ δεύτερον πολιορκῶν καὶ, τῶν ἐνοικούντων ἀπορουμένων, λύει τὴν πολιορκίαν, βασιλέα τούτοις Ἄτταλον ἀνειπών. . . . . εἴποι δ' ἄν τις οὐ γράψαι αὐτὸν ἱστορίαν, ἀλλὰ μεταγράψαι τὴν Εὐναπίου, τῷ συντόμῳ μόνον διαφέρουσαν, καὶ ὅτι οὐχ, ὥσπερ ἐκεῖνος, οὕτω καὶ οὗτος Στελίχωνα διασύρει· τὰ δ' ἄλλα κατὰ τὴν ἱστορίαν σχεδόν τι ὁ αὐτὸς, καὶ μάλιστα ἐν ταῖς τῶν εὐσεβῶν βασιλέων διαβολαῖς. δοκεῖ δέ μοι καὶ οὗτος δύο ἐκδόσεις, ὥσπερ κἀκεῖνος, πεποιηκέναι· ἀλλὰ τούτων μὲν τὴν προτέραν οὐκ εἶδον· ἐξ ὧν δὲ, ἣν ἀνέγνωμεν, ἐπέγραφε νέας ἐκδόσεως, συμβαλεῖν ἦν καὶ ἑτέραν αὐτῷ, ὥσπερ καὶ τῷ Εὐναπίῳ, ἐκδεδόσθαι.

§. 40.

Stephanus et Hermolaus Byzantii.

Tzetzes Chil. III. 100.

Τῷ περὶ νήσων, πόλεων καὶ δήμων τε βιβλίῳ
Στέφανος ὁ Βυζάντιος οὐ γράφει περὶ ταύτης
[τῆς περὶ Ἡρακλέος πρὸς Ἀμάζονας πλέοντος ἱστορίας],
Περὶ τῆς Ἡρακλείας δὲ γράφει τῆς ἐν τῷ Πόντῳ.

Suidas s. v.

Ἑρμόλαος, γραμματικὸς Κωνσταντινουπόλεως, γράψας τὴν ἐπιτομὴν τῶν Ἐθνικῶν Στεφάνου γραμματικοῦ, προςφωνηθεῖσαν Ἰουστινιανῷ βασιλεῖ.

Eustath. ad Dionys. Perieg. v. 694.

Τὸ Ἀρμένιον ὄρος, ἀφ᾽ οὗ ῥέειν ὁ Φάσις ἄρχεται, ὁ μὲν τὰ Ἐθνικὰ γράψας περὶ τὴν ἀρχὴν τῆς Ὑρκανίας εἶναι οἴεται.

